PETER

BIBLIOTHÈQUE CANTONALE ET UNIVERSITAIRE
EX DONO
Vilfredo PARETO
1908
DE LAUSANNE

KPA 1245

Digitized by Google

[illegible] 1907

Digitized by Google

SANCHUNIATHONIS
HISTORIARUM PHOENICIAE
LIBROS NOVEM
GRAECE VERSOS A PHILONE BYBLIO,

EDIDIT

LATINAQUE VERSIONE DONAVIT

F. WAGENFELD.

7088
BIBLIOTHEQUE DE L'UNIVERSITÉ D'OTTAWA
UNIVERSITY OF OTTAWA LIBRARY
VTM 670
KPA 1245

BREMAE MDCCCXXVIII.
EX OFFICINA CAROLI SCHÜNEMANNI.

Digitized by Google

Praefatio.

Anno superiore cum excerpta quædam edidissem ex commentariis, quos de rebus gestis Phœnicum vernacula lingua composuit Sanchuniatho, Philo Græce vertit, doctissimi quique viri, ut probarent, ex quo illa excerpsissem, verum et genuinum veteris illius scriptoris esse textum, et publice et privatim enisi sunt. Quam in rem præcipuam contulit operam **Grotefend**, vir clarissimus atque harum rerum imprimis peritus. Nam et ea, quæ me fugerant in tractandis locis difficilioribus, magna subtilitate est interpretatus et ea, quæ alicubi occurrunt hoc in opere primo aspectu fere incredibilia, testibus prolatis scriptoribus, quibus fides habeatur, dignissimis, a veritate minime discrepare, magna explicavit cum evidentia, atque ita denuo cum acuminis egregii, tum doctrinæ admirandæ edidit documentum. Quam ob caussam, quod postea, minimi momenti nisus argumentis, operis veritatem in dubium revocare ausus sit, non tam, quod adulterinum esse librum revera sibi persuasum habuerit, ab eo factum esse suspicor, quam, ut quendam quasi stimulum mihi admoveret operis quam celerrime edendi. Quod quidem fuit supervacaneum, cum ipse jam versarer in opere edendo.

Digitized by Google

Quæ editio si paullo longius producta esse videatur, typorum hoc adscribas Græcorum paucitati, quæ etiam, ne literæ Græcæ in parte plagulæ dimidia typis exscribenda deficerent, mihi necessitatem imposuit Latinæ versionis adjiciendæ.

Prodiit igitur Sanchuniatho ipse, judicium subiturus lectoris candidi, utrum temporum illorum remotissimorum sit proles, an sæculorum subditicius posterorum. Equidem, quæ in ejus defensionem plurima dixi, non repetam, ne oleum et operam perdidisse videar.

Ceterum noli de hujusmodi operibus judicare ex dicendi formularum discrepantia ab usu antiquioris temporis Græcorum, sed ex ipso ingenio scriptionis totiusque operis universa indole.

Bremae, MDCCCXXXVII.

F. Wagenfeld.

Digitized by Google

HISTORIARUM SANCHUNIATHONIS

LIBRI NOVEM.

Digitized by Google

ΦΙΛΩΝΟΣ ΠΡΟΟΙΜΙΟΝ.

Πρέπει μὲν ἑκάστῳ, τῶν προγεγενημένων εἰδέναι θαυμαστὰς πράξεις καὶ ἔργα, τῷ μὲν ἰδιώτῃ παρέχοντα ἑαυτοὺς ὑπὲρ τοῦ κοινοῦ καθιερευσάντων παραδείγματα πολλὰ καὶ μιμητέα, τοὺς δὲ τὰς πόλεις ἐπιτεταμμένους ἀποτρέποντα τῆς ὑβρέως, τὴν δίκην καταφρασαμένους, ὡς λέγει ὁ ποιητής, τῶν βασιλήων, οἳ λυγρὰ νοσοῦντες, ἄλλῃ παρακλίνουσι δίκας. Ἀδονιλίβνας οὖν, ὁ τῶν Βυβλίων βασιλεὺς, τὰ μὲν τῶν θεῶν καὶ τῶν ἀνθρώπων βουλόμενος μαθεῖν, ἐξευρὼν δὲ τὰ μὲν ἀνθρώπεια εἰδότας ὀλίγους, ἀδιάφθαρτα δὲ τὰ θεῖα ἐπιστάμενον οὐδένα, τὰς συγγραφὰς μετεπέμψατο παλαιὰς καὶ Σαγχουνιαθῶνα τὸν γραφέα πάντα ταῦτα ἐκέλευσεν ἐξερεννησάμενον ἀναγράψαι. Τούτων οὕτως ἐχόντων ὁ Σαγχουνιάθων, ἀνὴρ πολυμαθὴς καὶ πολυπράγμων γενόμενος καὶ τὰ ἐξ ἀρχῆς, ἀφ' οὗ τὰ πάντα συνέστη, παρὰ πάντων εἰδέναι ποθῶν, πολυφροντισικῶς ἐμάστευε τὰ Τααύτου, εἰδὼς, ὅτι τῶν ὑφ' ἡλίῳ γεγονότων, πρῶτός ἐστι Τάαυτος ὁ τῶν γραμμάτων τὴν εὕρεσιν ἐπινόησας, καὶ τῆς τῶν ὑπομνημάτων γραφῆς κατάρξας. Καὶ ἀπὸ τοῦδε ὥσπερ κρηπίδα βαλλόμενος τοῦ λόγου, ὃν Αἰγύπτιοι μὲν ἐκάλεσαν Θωὺθ, Ἀλεξανδρεῖς δὲ Θὼθ, Ἑρμῆν δὲ Ἕλληνες μετέφρασαν.

Digitized by Google

PHILONIS PRÆFATIO.

Omnes decet homines majorum res gestas et mira facinora novisse, ut quæ et civibus multa præbeant vitam reipublicæ usui impendentium exempla, imitatione digna, et eos, quibus civitatum cura est demandata, modestos reddant, probantia, eos reges, qui, ut poëta dicit, pravi evertant sententias, semper pœnas dedisse. Quam ob caussam Adonilibnas, Bybliorum rex, quum res divinas atque humanas vellet cognoscere atque paucos solum inveniret humanarum rerum peritos, qui autem res divinas tradere potuisset incorruptas, neminem, antiqua jussit apportari scripta, quæ Sanchuniathoni scribæ mandavit perlegenda atque excerpenda. Quæ cum ita sese haberent, Sanchuniatho vir in primis eruditus, cum operam in rerum plurimarum studio posuisset, cumque gentium omnium historiam jam usque a prima universi molitione nosse vehementer optaret, magnam in pervestigandis Taauti libris adhibuit diligentiam, quod satis intelligeret, omnium, qui lucem hanc adspexerant, eum literas primum invenisse, auctoremque fuisse scribendorum commentariorum: Ab illo autem auspicatum esse, quem Aegyptii Thoyth, Alexandrini Thoth nominarunt, Græci Mercurium reddidere.

Ἀλλ' οἱ μὲν νεώτατοι τῶν ἱερολόγων, τὰ μὲν γεγονότα πράγματα ἐξ ἀρχῆς ἀπεπέμψαντο, ἀλληγορίας δὲ καὶ μύθους ἐπινοήσαντες καὶ τοῖς κοσμικοῖς παθήμασι συγγένειαν πλασάμενοι, μυστήρια κατέστησαν καὶ πολὺν αὐτοῖς ἐπῆγον τύφον, ὡς μὴ ῥᾳδίως τινὰ συνορᾶν τὰ κατ' ἀλήθειαν γενόμενα. ὁ δὲ συμβαλὼν τοῖς ἀπὸ τῶν ἀδύτων εὑρεθεῖσιν ἀποκρύφοις Ἀμμωνέων γράμμασι συγκειμένοις, ἃ δὴ οὐκ ἦν πᾶσι γνώριμα, τὴν μάθησιν τῶν πάντων αὐτὸς ἤσκησε. καὶ τέλος ἐπιθεὶς τῇ πραγματείᾳ, τὸν κατ' ἀρχὰς μῦθον καὶ τὰς ἀλληγρίας ἐκποδὼν ποιησάμενος, ἐξηνύσατο τὴν πρόθεσιν, ἕως πάλιν οἱ ἐπιγενόμενοι ἱερεῖς, χρύνοις ὕστερον ἠθέλησαν αὐτὴν ἀποκρύψαι καὶ εἰς τὸ μυθῶδες ἀποκαταστῆσαι· ἐξ οὗ τὸ μυστικὸν ἀνέκυπτεν· οὐδέπω φθάσαν εἰς Ἕλληνας.

Ταῦθ' ἡμῖν εὕρηται ἐπιμελῶς εἰδέναι τὰ Φοινίκων πόθοῦσι, καὶ πολλὴν ἐξερευνησαμένοις ὕλην, οὐχὶ τὴν παρ' Ἕλλησι. διάφωνος γὰρ αὕτη καὶ φιλονεικότερον ὑπ' ἐνίων μᾶλλον, ἢ πρὸς ἀλήθειαν συντεθεῖσα. Οἱ μὲν γὰρ τὰ ἑαυτῶν προελόμενοι, τῶν βαρβάρων φανεροί εἰσι καταφρονοῦντες καὶ τὰ τῶν ἔξω ἐκ παντὸς τρόπου ἀποφαυλίζοντες, ἐξαιρέτως δὲ τοῖς ἐν ἀνατολαῖς λοιδορούμενοι. Οὕτως δὲ ἔχειν πεπεῖσθαι ἡμῖν παρέστη, ὡς ἐκεῖνος γέγραφε, τὴν διαφωνίαν ὁρῶσι τὴν παρ' Ἕλλησι, περὶ ἧς μοι τρία πεφιλοτίμηται βιβλία τὴν ἐπιγραφὴν ἔχοντα παραδόξου ἱστορίας. Καὶ γὰρ περὶ ἐνίων, ὧν οὔδε τὰ ὀνόματα ἴσασιν οἱ Φοίνικες,

Sed enim qui nobiscum eorum auctorum disputationem eligunt, eos eorum, qui facta erant, quæstionis initio veritatem rejiciunt, allegatis quibusdam ex falsello evangelio, eumque rebus ita, quæ ipsis narrari animum suggerunt, difficile esse, ait, ut, quæ ex eorum dictatis tractata institutaque sunt, ea ad veritatis normam exigere, ac ratione interiori facile possit. His autem eum in rerum gestarum Annotatorum volumine incidisse, quæ ex interrogatione Pontiani patuerint, ubi ait: *percontor, edocte eum ubicis passim non reatat, omnium veritatem difficili verificatione quæsitis, interpretari exempli fidem eatenus concessisse, quæ in quo edito conscribant libello eos allegare omnibus in locis, ubicis, institutum quo cum ad materiales pervenit: Quæ qui ipse exciderit omnibus, ait, ideo ipsum novellum deinde atque ad priscorum Moderna consuetudo revisque patria videbatur, sed mystica: Ille enim exercit, qui nunquam antea Ecclesiarum animo accepit.*

Hæc a nobis reperta sunt, cum vehementi cupiremus Pontianum historiæ desiderio. Sunt autem ac postmodum ingentem librorum assumentiarumque ipsum copiæ exercitui succum, non non tamen, quæ penes Graecos erat, quod ipsum magna cum diuturnæ scientiæ et constantiæ patitur, quem veritatis studio confutare a nonnullis esse parvidicere. Grave vero, ut antea est, barbarum despiciunt et nostrum cum insolentia ingeniorum de rebus exterorum, earum præcipue gentium, qui Orientem versus degunt. Ad hæc autem, Illis magistris obliviscebar, ne nostrum quidem ingenium ad cognitionem rerum Graecarum (ut videbar) aptum, de qua tibi volumen, quod ipsum navigio est de interioribus historiis, studiose et diligenter elaboravimus. Grani enim vel de quibusdam servari

οὔτ' Ἀγήνορος οἱ Σιδόνιοι, οὔτ' οἱ Βύβλιοι τοῦ Βάλαντος, ὅν φασιν οἱ ποιηταὶ Βύβλον τ' ἀγχίαλον καὶ Σιδῶν' ἀνθεμόεσσαν νίκησαι τρικάρηνον, λόγους πεποιηκότες Ἕλληνες δῆλοί εἰσι τῶν Φοινίκων τὰ μὲν διαφθάροντες, τὰ δ' ὅλως Ψευσάμενοι διὰ τὴν παλαιὰν τῆς Ἑλλάδος εἰς Ἀσίαν ζηλοτυπίαν. Τὴν μὲν οὖν ἀλήθειαν καὶ τοῖς Ἕλλησιν ἐκφανοῦντι δόξαν μοι τὴν τοῦ Σαγχουνιαθῶνος μεθερμήνευσαι διήγησιν.

Προδιαρθρῶσαι δὲ ἀναγκαῖον πρὸς τὴν αὖθις σαφήνειαν, καὶ τὴν τῶν κατὰ μέρος διάγνωσιν, ὅτι οἱ παλαιότατοι τῶν βαρβάρων, ἐξαιρέτως δὲ Φοίνικες καὶ Αἰγύπτιοι, παρ' ὧν καὶ οἱ λοιποὶ παρέλαβον ἄνθρωποι, θεοὺς ἐνόμιζον μεγίστους τοὺς τὰ πρὸς τὴν βιωτικὴν χρεῖαν εὑρόντας, ἢ καὶ κατά τι εὐποιήσαντας τὰ ἔθνη· εὐεργέτας τε τούτους καὶ πολλῶν αἰτίους ἀγαθῶν ἡγούμενοι ὡς θεοὺς προσεκύνουν, καὶ εἰς τὸ χρεὼν καταστάντας ναοὺς μετασκευασάμενοι στήλας τε καὶ ῥάβδους ἀφιέρουν ἐξ ὀνόματος αὐτῶν, καὶ ταῦτα μεγάλως σεβόμενοι καὶ ἑορτὰς ἔνεμον αὐτοῖς τὰς μεγίστας οἱ Φοίνικες. Ἐξαιρέτως δὲ καὶ ἀπὸ τῶν σφετέρων βασιλέων, τοῖς κοσμικοῖς στοιχείοις, καί τισι τῶν νομιζομένων θεῶν τὰς ὀνομασίας ἐπέθεσαν· φυσικοὺς δὲ ἥλιον καὶ σελήνην καὶ τοὺς λοιποὺς πλανήτας ἀστέρας καὶ τὰ στοιχεῖα καὶ τὰ τούτοις συναφῆ θεοὺς μόνους ἐγίνωσκον, ὥστ' αὐτοὺς τοὺς μὲν θνητούς, τοὺς δὲ ἀθανάτους θεοὺς εἶναι. Ἀπαρχώμεθα δὲ τῆς τοῦ Σαγχουνιαθῶνος ἑρμηνείας.

viris, quorum ne nomina quidem apud Phœnices innotuere, neque Agenoris apud Sidonios, neque apud Byblios Balantis, quem tricipitem dicunt poëtæ vicisse Byblum ad mare sitam Sidonemque florentem, qua re apparet, eos Phœnicum historiam passim depravasse, magnamque partem plane commentitos esse, propter vetustas inter Græcos et Asiam inimicitias. Ut vero et Græci distinguere possint, quid sit verum, quid falsum, Sanchuniathonis narrationem in Græcum sermonem vertere, mihi visum est.

Jam vero, quo illustrior habeatur magisque distincta rerum, quæ jam sequuntur, intelligentia, hoc etiam ante omnia ponere nos oportet, barbarorum antiquissimos, Phœnices imprimis et Aegyptios, a quibus cæteri deinceps populi morem illum accepere, in maximorum Deorum loco eos omnes habuisse, qui res ad vitam agendam necessarias invenissent, quique beneficium aliquod in genus humanum contulissent. Eos nimirum, quod sibi plurimorum bonorum auctores esse persuaderent, divinis honoribus coluere; ac templorum usu, quæ jam ante exstructa fuerant, hoc ad munus officiumque traducto columnas insuper virgasque ipsorum nomine consecrarunt, eaque præcipuo religionis cultu prosecuti Phœnices, festos illis quoque dies longe celeberrimos dedicarunt. In quo quidem eximium fuit illud, quod regum suorum nomina universi hujus elementis, ac quibusdam eorum, quibus divinitatem ipsi tribuebant, imponerent. Naturales porro Deos, Solem, Lunam reliquasque stellas inerrantes, cum elementis ac cæteris cum iisdem affinitate conjunctis, solos ex omnibus agnoscebant, ut mortales quidem alios, alios autem immortales Deos haberent. Jam vero Sanchuniathonem vertere incipiamus.

ΤΩΝ ΤΟΥ ΣΑΓΧΟΥΝΙΑΘΩΝΟΣ

Α'.

I. *Τὴν τῶν ὅλων ἀρχὴν ὑποτίθεται ἀέρα ζοφώδη καὶ πνευματώδη, ἢ πνοιὴν ἀέρος ζοφώδους, καὶ χάος θολερὸν ἐρεβώδες· ταῦτα δὲ εἶναι ἄπειρα, καὶ διὰ πολὺν αἰῶνα μὴ ἔχειν πέρας. Ὅτε δέ, φησιν, ἠράσθη τὸ πνεῦμα τῶν ἰδίων ἀρχῶν, καὶ ἐγένετο σύγκρασις, ἡ πλοκὴ ἐκείνη ἐκλήθη πόθος· αὕτη δὲ ἀρχὴ κτίσεως ἁπάντων· αὐτὸ δὲ οὖν ἐγίνωσκε τὴν αὐτοῦ κτίσιν· καὶ ἐκ τῆς αὐτοῦ συμπλοκῆς τοῦ πνεύματος ἐγένετο Μώτ· (τοῦτο τινές φασιν ἰλύν, οἱ δὲ ὑδατώδους μίξεως σῆψιν). Καὶ ἐκ ταύτης ἐγένετο πᾶσα σπορὰ κτίσεως καὶ γένεσις τῶν ὅλων.*

II. *Ἦν δέ τινα ζῶα οὐκ ἔχοντα αἴσθησιν, ἐξ ὧν ἐγένετο ζῶα νοερὰ, καὶ ἐκλήθη Ζωφασημὶν (τοῦτ' ἔστιν οὐρανοῦ κατόπται) καὶ ἀνεπλάσθη ὁμοίως ᾠοῦ σχήματι, καὶ ἐξέλαμψε Μὼτ, ἥλιός τε καὶ σελήνη, ἀστέρες τε καὶ ἄστρα μεγάλα. Καὶ τοῦ ἀέρος διαυγάσαντος, διὰ πύρωσιν καὶ τῆς θαλάττης καὶ τῆς γῆς ἐγένετο πνεύματα καὶ νέφη καὶ οὐρανίων ὑδάτων μέγισται καταφοραὶ καὶ χύσεις. Καὶ ἐπειδὴ διεκρίθη*

HISTORIARUM SANCHUNIATHONIS LIBER PRIMUS.

I. Principium hujus universi ponit Aërem tenebrosum ac spiritu fœtum, seu mavis tenebrosi aëris flatum ac spiritum, chaosque turbidum altaque caligine circumfusum. Haec porro infinita esse, nullumque nisi longo sæculorum intervallo terminum habere. Verum ubi spiritus, inquit, amore principiorum suorum flagrare cœpisset, eumque simul esset mixtio consecuta, nexum hunc mutuum Cupidinem appellarunt. Is quidem omnium rerum procreationis principium fuit. Tum spiritus suam ipsius iniit procreationem, qua ex conjunctione prodiit Mot (id quod limum nonnulli, alii aquosæ mixtionis corruptionem esse volunt), ex qua sequutæ productionis semina, ipsaque adeo rerum universarum generatio exstiterit.

II. Cæterum quædam animantia erant, omni carentia sensu, quæ intelligentia præditos animantes procrearunt, quibus nomen erat Zophasemin (cœli contemplatorum), atque qui in ovi figuram conformati erant. Illico autem Mot cum sole, luna, stellis, ac reliqua majorum astrorum multitudine emicuit. Cum autem aër igneum emisisset splendorem, ex ardenti maris terrarumque inflammatione, venti, nubes, magnoque ruentium impetu cœlestium imbrium et nimborum effusiones exstitere; cum autem hæc omnia, quæ distincta paullo ante ac propter vehementiorem

καὶ τοῦ ἰδίου τόπου διεχωρίσθη διὰ τὴν τοῦ ἡλίου πύρωσιν, καὶ πάντα συνήντησε πάλιν ἐν ἀέρι τάδε τοῖσδε καὶ συνέῤῥαξαν, βρονταί τε ἀπετελέσθησαν καὶ ἀστραπαὶ, καὶ πρὸς τὸν πάταγον τῶν βροντῶν προγεγραμμένα νοερὰ ζῶα ἐγρηγύρησεν, καὶ πρὸς τὸν ἦχον ἐπτύρη καὶ ἐκινήθη ἔν τε γῇ καὶ θαλάττῃ ἄῤῥεν καὶ θῆλυ.

Ταῦθ' εὑρέθη ἐν τῇ κοσμογονίᾳ γεγραμμένῃ Τααύτου καὶ τοῖς ἐκείνου ὑπομνήμασιν, ἐκ τε στοχασμῶν καὶ τεκμηρίων, ὧν ἑώρακεν αὐτοῦ ἡ διάνοια καὶ εὗρε καὶ ἡμῖν ἐφώτισε.

Τέτταρες δ' ἐκ τοῦ πνεύματος ἐγεννήθησαν ἀδελφοὶ, μετέωροι τε καὶ ὑβριστικοὶ, καὶ ἐλαφροί· ἡλικίαν δ' ἔχοντες δεινὸν ἐπολέμουν καὶ πολυχρόνιον πόλεμον, ὥστε μικροῦ ἐδέησαν ἀναστατοῦντες διαφθεῖραι τὰ γενόμενα. Ἐπ' αἰτίᾳ τοιαύτῃ ὁ πατὴρ αὐτοῖς τὴν γὴν διαδέδωκεν. Ὀρβίῳ μὲν κατατάξας τὰ πρὸς μεσημβρίαν, Τυφῶνι τὰ βόρεια, Κάδμῳ τὰ πρὸς ἡλίου ἀνατολὴν, Ῥαχίμῳ τὰ πρὸς ἑσπέραν. Ἀλλ' οὐκ ἐπαύοντο πολεμοῦντες καὶ ἐσβάλλοντες ἐς χώραν ὁ μὲν Ὄρβιος ἐς τὴν τοῦ Τυφῶνος, ὁ δὲ Τυφὼν ἐς τὴν τοῦ Ὀρβίου. (Τούτους οἱ Ἕλληνες μετέφρασαν, Τυφῶνα μὲν Βορέαν, Ὄρβιον δὲ Νότον). Πολλὰς δὲ ἄγοντες πρὸς γάμον γυναῖκας ἐξ αὐτῶν ἐποιήσαντο παῖδας πολλοὺς καὶ δεινούς, ἀνέμους γενομένους.

III. Εἶτα γεγόνασιν ἐκ τοῦ Κολπίας ἀνέμου καὶ γυναικὸς αὐτοῦ Βάαντ (οὕτως ὀνομάζουσι νύκτα Φοί-

solis æstum a propria sede disjuncta fuerant, in eodem rursus ære concurrerent, atque alio cum aliis committerentur; tonitrua simul ac fulgura peperere; quorum ad tonitruum fragorem, descripti antea intellectu praediti animantes velut a somno excitati, horrendoque sonitu exterriti, mares pariter ac feminæ tam in terrâ quam in mari cœperunt moveri.

Quæ omnia in Taauti de mundi ortu commentariis leguntur; atque hæc quidem ipse cum argumentis et conjecturis, quas mentis acie perviderat, excogitavit; tum eorum quoque facem nobis prætulit.

Spiritus vero quattuor genuit filios superbos atque impudentes et celerrimos, qui quum pubertatem ingressi dirum per multos annos gererent bellum, haud multum abfuit, quin mundum diruissent. Quod ut impediret pater orbem terrarum iis distribuit in hunc modum; Orbio dedit, regiones meridionales, Typhoni autem septemtrionales, Cadmo Orientem, Rachimo ea quæ spectant in occasum solis. Attamen bello haud abstinebant, sed irruptiones fecere Orbius in regnum Typhonis, Typhon autem in Orbii regionem. (Græci Typhonem Boream nominant, Orbium autem Notum.) Multas autem mulieres in matriomonium ducentes, multitudinem procrearunt, filiorum fortium, ventorum.

III. Tum ex Colpia vento ejusque uxore Baaut (quo verbo Phœnices noctem significant) procreati

νικες) Αἰὼν καὶ Πρωτόγονος, θνητοὶ ἄνθρωποι οὕτω καλούμενοι· εὗρε δὲ τὴν ἀπὸ τῶν δένδρων τροφὴν Αἰὼν· οὗτοι δὲ πρῶτοι τῆς γῆς ἀφιέρωσαν βλαστήματα, καὶ θεοὺς ἐνόμιζον καὶ προσεκύνουν ταῦτα, ἀφ' ὧν αὐτοί τε διεγίνοντο καὶ οἱ ἑπόμενοι καὶ οἱ πρὸ αὐτῶν πάντες καὶ χοὰς καὶ ἐπιθύσεις ἐποίουν. Αὗται δ' ἦσαν αἱ ἐπίνοιαι τῆς προσκυνήσεως, ὅμοιαι τῶν αὐτῶν ἀσθενείᾳ καὶ ψυχῆς ἀτολμίᾳ.

Ἐκ τούτων, φησὶν ὁ Σαγχουνιάθων, τοὺς γενομένους κληθῆναι Γένος καὶ Γενεὰν, καὶ οἰκῆσαι τὴν Φοινίκην, αὐχμῶν δὲ γενομένων τὰς χεῖρας εἰς οὐρανοὺς ὀρέγειν πρὸς τὸν ἥλιον· τοῦτον γὰρ θεὸν ἐνόμιζον μόνον οὐρανοῦ κύριον, Βεελσάμην καλοῦντες, ὅ ἐστι παρὰ Φοίνιξι κύριος οὐρανοῦ, Ζεὺς δὲ παρ' Ἕλλησιν. Οὐ γὰρ ματαίως αὐτὰ πολλαχῶς διεστειλάμεθα, ἀλλὰ πρὸς τὰς αὖθις παρεκδοχὰς τῶν ἐν τοῖς πράγμασιν ὀνόματων, ἅπερ οἱ Ἕλληνες ἀγνοήσαντες ἄλλως ἐξεδέξαντο, πλανηθέντες τῇ ἀμφιβολίᾳ τῆς μεταφράσεως.

Ἐξῆς φησὶν ἀπὸ γένους Αἰῶνος καὶ Πρωτογόνου γενηθῆναι αὖθις παῖδας θνητοὺς, οἷς εἶναι ὀνόματα Φῶς καὶ Πῦρ καὶ Φλόξ· οὗτοι ἐκ παρατριβῆς ξύλων εὗρον πῦρ καὶ τὴν χρῆσιν ἐδίδαξαν. Τίους δὲ ἐγέννησαν οὗτοι μεγέθει τε καὶ ὑπεροχῇ κρείττονας, ὧν τὰ ὀνόματα τοῖς ὄρεσιν ἐπετέθη, ὧν ἐκράτησαν, ὡς ἐξ αὐτῶν κληθῆναι τὸ Κάσιον καὶ τὸν Λίβανον καὶ τὸν Ἀντιλίβανον καὶ τὸ Βραθύ. Ἐκ τούτων ἐγεννήθησαν Μημρούμος καὶ Ὀὐσωος καὶ Ὑψουράνιος, ἀπὸ μητέρων

sunt Aeon et Primogenitus, mortales homines, ex quibus Aeon cibi ex arboribus petendi auctor fuit, quam ob caussam hi principes terræ consecrarunt *germina*, iisque Deorum in loco habitis adorationis cultum tribuerunt, quibus non ipsi modo, sed ipsorum etiam posteri, majoresque omnes vitam tolerarunt, inferiasque perfecerunt atque libamina, quæ quidem divini cultus cogitationes cum illorum imbecillitate animique angustiis congruebant.

Ex his procreatos, narrat Sanchuniatho, Genum et Geneam nominatos fuisse, Phœnicenque incoluisse. Quum autem vehementior urgeret æstus, in cœlum manus ad Solem sustulisse, quippe quem unum cœli moderatorem esse crediderint. Hac de caussa etiam Beelsamen eum nominabant, cœli dominum, qui Græcis est Zeus sive Jupiter. Neque enim sine ratione pluribus ista modis explicate distinguenda putavimus, sed varias hac etiam in parte nominum quæ rebus attribuuntur rationes ac significationes secuti sumus, quæ Græci cum ignorarent, alieno accepere sensu, in errorem ambiguitate significationis inducti.

Porro ex genere Aeonis et Primogeniti natos ait esse liberos morti similiter obnoxios, eosque Lucis, Ignis et Flammæ nominibus appellatos, qui cum ex mutua lignorum collissione ignem reperissent, ejusdem usum docuerint homines. Iidem filios genuere, qui mole et proceritate corporis vulgus hominum longe superarent, quorum nomina iis attributa sunt montibus, quos ipsi occuparant, quare Cassius, Libanus, Antilibanus et Brathyus montes nomen ab illis accepere. Horum filii erant Memrumus et Usous et Hypsuranius, qui a matribus ejus-

χρηματίζοντες τῶν τότε γυναικῶν ἀναίδην μισγομένων, οἷς ἂν ἐντύχοιεν. Εἶτα Ὑψουράνιον λέγουσιν οἰκῆσαι Τύρον, καλύβας τε ἐπινοῆσαι ἀπὸ καλάμων καὶ θρύων καὶ παπύρων· στασιάσαι δὲ πρὸς τὸν ἀδελφὸν Οὖσων, ὃς σκέπην τῷ σώματι πρῶτος ἐκ δερμάτων ὧν ἴσχυσε συλλαβὼν θηρίων εὗρε· ῥαγδαίων δὲ γενομένων ὄμβρων καὶ πνευμάτων, παρατριβέντα τὰ ἐν τῇ Τύρῳ δένδρα πῦρ ἀνάψαι, καὶ τὴν αὐτόθι ὕλην καταφλέξαι· δένδρου δὲ λαβόμενον τὸν Οὖσωον καὶ ἀποκλαδεύοντα, πρῶτον τολμῆσαι εἰς θάλατταν ἐμβῆναι, ἀνιερῶσαι δὲ δύο στήλας πυρί τε καὶ πνεύματι καὶ προσκυνῆσαι, ἅμα δὲ σπένδειν αὐταῖς ἐξ ὧν ἤγρευε θηρίων. Τούτων δὲ τελευτησάντων, τοὺς ἀπολειφθέντας φησὶ ῥάβδους αὐτοῖς ἀφιερῶσαι, καὶ τὰς στήλας προσκυνεῖν καὶ τούτοις ἑορτὰς ἄγειν κατ' ἔτος.

IV. Χρόνοις δ' ὕστερον πολλοῖς ἀπὸ τῆς Ὑψουρανίου γενεᾶς Ἀγρέα γενέσθαι καὶ Ἁλιέα, τοὺς τῆς ἁλιείας καὶ τῆς ἄγρας εὑρετάς, ἐξ ὧν κληθῆναι ἀγρευτὰς καὶ ἁλιεῖς· ἐξ ὧν γενέσθαι δύο ἀδελφούς, σιδήρου εὑρετάς, καὶ τῆς τούτου ἐργασίας· ὧν θάτερον τὸν Χρυσῶρ (ὃν Ἕλληνες μεταφράζουσιν Ἥφαιστον) λόγους ἀσκῆσαι καὶ ἐπῳδὰς καὶ μαντείας, εὑρεῖν δὲ καὶ ἄγκιστρον καὶ δέλεαρ καὶ ὁρμιὰν καὶ σχεδίαν· πρώτόν τε λέγουσι πάντων ἀνθρώπων πλεῦσαι· δι' ὃ καὶ ὡς θεὸν αὐτὸν μετὰ θάνατον ἐσεβάσθησαν· κυλοῦσι δ' αὐτὸν καὶ Διαμίχιον. Οἱ δὲ τοὺς ἀδελφοὺς

modi invenere appellationes, mulierculis, quæ sui copiam eïs temporibus obvio cuilibet impudentissime faciebant. Jam vero Hypsuranium dicunt Tyrum incoluisse, ac tiguriorum ex calamis cum junco papyroque contextis efficiendorum artem excogitasse, gravesque exercuisse inimicitias cum Usoo fratre, qui princeps pellibus, quas feris a se captis detraxerat, corpus instituerit tegere; cumque, turbulenta imbrium ventorumque tempestate coorta, ex Tyri arborum collisione ignis exarsisset, arbore, cujus ante ramos amputarat, navigii loco mari sese, nullo licet exemplo, committere ausus est Usous. Geminos quoque cippos cum igni ventoque dedicasset, mox utrique adorationis cultum exhibuit, quasque venando ceperat, ferarum libavit sanguinem. Posteaquam autem supremum isti omnes diem obiissent, qui superstites remansere, virgas ac cippos in eorum honorem consecratos adorasse dicuntur festosque dies solenni ritu quotannis peregisse.

IV. Multis autem post seculis ex Hypsuranii illius sobole Venator et Piscator sunt nati, qui piscationis et venationis artem invenere, ac toti piscatorum venatorumque ordini suum postea nomen indidere; ab iisdem procreati sunt duo fratres, qui ferrum invenerunt usumque ferri; quorum alter, cui Chrysoris erat nomen (quem Græci Vulcanum vertunt) plurimum operæ studiique collocavit partim in eloquentia, partim in cantionibus artibusque divinandi. Is etiam hamum atque escam, piscatorum limeam ac rates tumultuarias invenit omniumque mortalium primus navigavit, quamobrem eum quoque post obitum Dei instar colebant, ipsumque præterea Diamichii nomine appellabant. Neque etiam desunt,

αὐτοῦ τοίχους φασὶν ἐπινοῆσαι ἐκ πλίνθων· μετὰ ταῦτα ἐκ τοῦ γένους τούτου γενίσθαι νεανίδας δύο, καλεῖσθαι δ' αὐτῶν τὸν μὲν Τεχνίτην, τὸν δὲ Γῆϊνον Αὐτόχθονα. Οὗτοι ἐπενόησαν τῷ πηλῷ τῆς πλίνθου συμμιγνύειν φορυτὸν καὶ τῷ ἡλίῳ αὐτοὺς τερσαίνειν, ἀλλὰ καὶ στέγας ἐξεῦρον. Ἀπὸ τούτων ἐγένοντο ἕτεροι, ὧν ὁ μὲν Ἀγρὸς ἐκαλεῖτο ὁ δὲ Ἀγρούηρος ἢ Ἀγρότης, οὗ καὶ ξόανον ἀνέστησαν μάλα σεβάσμιον καὶ ναὸν ζυλοφορούμενον ἐν Φοινίκῃ· παρὰ δὲ Βυβλίοις ἐξαιρέτως θεῶν ὁ μέγιστος ὀνομάζεται· ἐπενόησαν δὲ οὗτοι αὐλὰς προστιθέναι τοῖς οἴκοις καὶ περιβόλαια καὶ σπήλαια· ἐκ τούτων ἀγρόται καὶ κυνηγοί. Οὗτοι δὲ Ἀλῆται καὶ Τιτάνες καλοῦνται. Ἀπὸ τούτων φασὶν, Ἄμυνον γενέσθαι καὶ Μάγον, οἱ κώμας καὶ ποίμνας κατέδειξαν, ἀπὸ δὲ τούτων Μισὼρ καὶ Συδὺκ (τοῦτ' ἐστὶν Εὔλυτον καὶ Δίκαιον)· οὗτοι τὴν τοῦ ἁλὸς χρῆσιν εὗρον. Ἀπὸ Μισὼρ Τάαυτος, ὃς εὗρε τὴν τῶν πρώτων στοιχείων γραφήν· ὃν Αἰγύπτιοι μὲν Θωὼθ, Ἀλεξανδρεῖς δὲ Θωὺθ, Ἕλληνες δὲ Ἑρμῆν ἐκάλεσαν· ἐκ δὲ τοῦ Συδὺκ Διόσκουροι, ἢ Κάβειροι ἢ Κορύβαντες ἢ Σαμοθρᾶκες. Οὗτοί, φησι, πρῶτοι πλοῖον εὗρον. Ἐκ τούτων γεγόνασιν ἕτεροι, καὶ βοτάνας εὑρόντες καὶ τὴν τῶν δακετῶν ἴασιν καὶ ἐπῳδάς.

V. Κατὰ τούτους γίνεταί τις Ἑλιοῦν καλούμενος Ὕψιστος, καὶ θήλεια λεγομένη Βηρούθ, οἱ καὶ κατῴκουν περὶ Βύβλον ἐξ ὧν γεννᾶται Ἐπίγειος ἢ Αὐτόχθων, ὃν ὕστερον ἐκάλεσαν Οὐρανόν· ὡς ἀπ' αὐ-

qui ab ejusdem fratribus struendorum ex lateribus murorum rationem excogitatam esse velint. Ab ejusdem posteris geniti sunt adolescentes duo, quorum unus Artifex, alter vero terrestris Indigena nuncupatus. Hi quisquiliarum cum lateritio luto miscendarum, utriusque vero solis calore exsiccandi tectorumque ædibus imponendi auctores fuere. Alios item duos procrearunt, quorem alter Agri nomen accepit alter Rustici sive Agricolæ, cui etiam simulacrum eximio cultu est dedicatum templumque in Phœnice, quod ab aliquot jugatorum boum paribus gestabatur; quin etiam apud Byblios maximus Deorum habetur. Ambo præterea construendis ædibus non solum atria, verum etiam ducta in orbem septa cum speluncis addidere. Ab iis tam agricolarum, quam venatorum, qui canibus utuntur, genus propagatum, quibus Erronum et Titanum attributum nomen. Horum filii erant, ut dicitur, Amynus et Magus, quibus villarum gregumque alendorum rationes feruntur acceptæ; ex istis nati sunt Misor et Sydyc (hoc est solutu facilis et justus), qui salis usum reperere. Misoris filius Taautus, quem Aegyptii Thooth, Alexandrini Thoyth, Græci Mercurium nominavere, primorum in scribendo elementorum erat inventor. Sydyc autem filios habuit Dioscuros seu Cabiros seu Corybantes, seu denique Samothraces, quos dicit principes navem invenisse. Ex his alii progeniti sunt, qui et herbas et venenatorum morsuum curationem cantionesque invenerunt.

V. Eorundem ætate natus est Elium quidam nomine Altissimus, itemque femina, cui Beruth erat nomen, quorum domicilium erat in iis locis, ubi jam Bybliorum urbs exstructa est; habebant autem filium Epigeum sive Indigenam, quem postea

τοῦ καὶ τὸ ὑπὲρ ἡμᾶς στοιχεῖον, δι' ὑπερβολὴν τοῦ κάλλους ὀνομάζειν οὐρανόν. Γενναται δὲ τούτῳ ἀδελφὴ ἐκ τῶν προειρημένων, ἣ καὶ ἐκλήθη Γῆ, καὶ διὰ τὸ κάλλος ἀπ' αὐτῆς ἐκάλεσαν τὴν ὁμώνυμον γῆν. Ὁ δὲ τούτων πατὴρ ὁ Ὕψιστος ἐκ συμβολῆς θηρίων τελευτήσας ἀφιερώθη, ᾧ καὶ χοὰς καὶ θυσίας οἱ παῖδες ἐτέλεσαν. Παραλαβὼν δὲ ὁ Οὐρανὸς τὴν τοῦ πατρὸς ἀρχὴν, ἄγεται πρὸς γάμον τὴν ἀδελφὴν Γῆν, καὶ ποιεῖται ἐξ αὐτῆς παῖδας τέτταρας, Ἶλον τὸν καὶ Κρόνον, καὶ Βέτυλον, καὶ Δαγὼν, ὅς ἐστι Σίτων, καὶ Ἄτλαντα, καὶ ἐξ ἄλλων δὲ γαμετῶν ὁ Οὐρανὸς πολλὴν ἔσχε γενεάν· δι' ὃ καὶ χαλεπαίνουσα ἡ Γῆ, τὸν Οὐρανὸν ζηλοτυποῦσα ἐκάκιζεν, ὡς καὶ διαστῆναι ἀλλήλων. Ὁ δ' Οὐρανὸς αὐτῆς ἀποχωρήσας, μέτα βίας, ὅτε καὶ ἐβούλετο ἐπιὼν καὶ πλησιάζων αὐτῇ πάλιν ἀπηλλάττετο· ἐπεχείρει δὲ καὶ τοὺς ἐξ αὐτῆς παῖδας διαφθείρειν καὶ τὴν Γῆν αὐτὴν, ἀμύνεσθαι πολλάκις ἐθέλουσαν καὶ συμμαχίαν αὐτῇ συλλεξαμένην.

Εἰς ἄνδρας δὲ προελθὼν ὁ Κρόνος Ἑρμῇ τῷ τρισμεγίστῳ συμβούλῳ καὶ βοηθῷ χρώμενος· (οὗτος γὰρ ἦν αὐτοῦ γραμματεὺς,) τὸν πατέρα Οὐρανὸν ἀμύνεται, τιμωρῶν τῇ μητρί. Κρόνου δὲ γίγνονται παῖδες Περσεφόνη καὶ Ἀθηνᾶ. Ἡ μὲν οὖν πρώτη πάρθενος ἐτελεύτα· τῆς δὲ Ἀθηνᾶς γνώμῃ καὶ Ἑρμοῦ κατεσκεύασε Κρόνος ἐκ σιδήρου ἅρπην καὶ δόρυ· εἶτα ὁ Ἑρμῆς τοῖς τοῦ Κρόνου συμμάχοις λόγους μαγείας διαλεχθεὶς πόθον ἐνεποίησε τῆς κατ' Οὐρανὸν μάχης

Cœlum nominabant; a quo etiam sublime illud elementum, quod supra nos volvitur, propter eximiam pulchritudinis speciem cœlum vocarunt. Is sororem iisdem natam habebat parentibus, cui nomen Terra, quod propter singularem ejus corporis venustatem eum ea, quam terram vocamus, postea communicarunt; quorum pater Altissimus, cum ferarum congressione periisset, Deorum in numerum relatus, a liberis colebatur, libationibus et sacrificiis. At Cœlus ubi paternum in imperium successisset, Terram sororem matrimonio secum junxit, ex eaque liberos quattuor suscepit, Ilum qui etiam Saturnus dicitur, Betylum, Dagonem, (qui Sito seu frumenti præses nominatur) atque Atlantem. Ex aliis autem uxoribus ingentem liberorum multitudinem genuit, id quod adeo grave et acerbum Terræ accidit ut zelotypia vehementiore succensa, a Cœlo multis ante probris onerato divortium fecerit. Cœlus autem, etsi ab eo discesserat, vi tamen quoties libitum erat, eadem oppressa, domum sese denuo recipiebat. Verum et susceptos ex ea liberos interficere conatus est, Terramque ipsam, quæ convocatis auxiliaribus copiis ejus impetum sæpe propulsavit.

Interea Saturnus cum virilem attigisset ætatem, Mercurii Trismegisti, (qui ipsi a tabulis et codicillis erat) consilio atque opibus, maternas ulturus injurias, Cœlo patri acriter sese objecit. Idem liberos procreavit Proserpinam ac Minervam, quarum prior virgo mortua est. Minerva autem Mercurioque auctoribus Cronus et falcem ex ferro et hastam sibi conflavit. Tum Mercurius Saturni sociis vehemens contra Cœlum pro Terra dimicandi magicis cantionibus injecit desiderium; his igitur instructus

ὑπὴρ τῆς Γῆς, καὶ οὕτω Κρόνος τὸν Οὐρανὸν πολέμῳ συμβαλὼν τῆς ἀρχῆς ἤλασε καὶ τὴν βασιλείαν διεδέξατο. Ἑάλω δὲ ἐν τῇ μάχῃ καὶ ἡ ἐπέραστος τοῦ Οὐρανοῦ σύγκοιτος ἐγκύμων οὖσα, ἣν ἐκδίδωσιν ὁ Κρόνος εἰς γάμον τῷ Δαγῶνι· τίκτει δὲ παρὰ τούτῳ ὃ κατὰ γαστρὸς ἐξ Οὐρανοῦ ἔφερεν, ὃ καὶ ἐκάλεσε Δημαρούν. Ἐπὶ τούτοις ὁ Κρόνος τεῖχος περιβάλλει τῇ ἑαυτοῦ οἰκήσει, καὶ πρώτην πόλιν κτίζει τὴν ἐπὶ Φοινίκης Βύβλον. Μετὰ ταῦτα τὸν ἀδελφὸν τὸν ἴδιον Ἄτλαντα ὑπονοήσας ὁ Κρόνος, μετὰ τῆς τοῦ Ἑρμοῦ γνωμῆς εἰς βάθος γῆς ἐμβαλὼν κατέχωσε.

VI. Κατὰ τοῦτον τὸν χρόνον οἱ ἀπὸ τῶν Διοσκούρων σχεδίας καὶ πλοῖα συνθέντες, ἔπλευσαν· καὶ ἐκπριφέντες κατὰ τὸ Κάσιον ὄρος νάον αὐτόθι ἀφιέρωσαν. Οἱ δὲ σύμμαχοι Ἴλου τοῦ Κρόνου Ἐλοείμ ἐπεκλήθησαν, ὡς ἂν Κρόνιοι, οὗτοι ἦσαν οἱ λεγόμενοι ἀπὸ Κρόνου. Κρόνος δὲ υἱὸν ἔχων Σάδιδον, ἰδίῳ αὐτὸν σιδήρῳ διεχρήσατο, δι' ὑπονοίας αὐτὸν ἐσχηκὼς, καὶ τῆς ψυχῆς, αὐτόχειρ τοῦ παιδὸς λενόμενος, ἐστέρησεν. Ὡσαύτως καὶ θυγατρὸς ἰδίας τὴν κεφαλὴν ἀπέτεμεν· ὡς πάντας πεπλῆχθαι θεοὺς τὴν Κρόνου γνώμην. Χρόνου δε προϊόντος Οὐρανὸς ἐν φυγῇ τυγχάνων, θυγατέρα αὐτοῦ πάρθενον Ἀστάρτην μεθ' ἑτέρων αὐτῆς ἀδελφῶν δύο, Ῥέας καὶ Διώνης, δόλῳ τὸν Κρόνον ἀνελεῖν ὑποπέμπει, ἃς καὶ ἑλὼν ὁ Κρόνος κουριδίας γαμετὰς ἀδελφὰς οὔσας ἐποιήσατο. Γνοὺς δὲ ὁ Οὐρανὸς ἐπιστρατεύει κατὰ τοῦ Κρόνου Εἱμαρμένην καὶ Ὥραν μεθ' ἑτέρων συμμάχων, καὶ ταύτας

copiis Cronus bellum cum patre committit eoque imperii finibus ejecto, regnum capessit. Hoc in certamine capta Cœli concubina, cujus ille singulari amore flagrabat, quam gravidam Dagoni in matrimonium dedit, apud quem susceptam ex Cœlo fœtum enixa Demaroontem nominavit. Tum vero Saturnus ædes suas cingit, muro, urbemque condit omnium in Phœnicia primam, Byblum, fratrem autem, quod eum suspectum haberet, Atlantem, Mercurio suadente, alta terra defossum, obruit.

VI. Eodem fere tempore Dioscurorum posteri ratibus navigiisque conflatis, cum navigarent, ad Cassium montem ejecti templum eo loco dedicarunt. Jam vero socios Ili, qui Saturnus idem erat, Eloim quasi Saturnios appellarunt, qui ejusdem Saturni æquales etiam dicebantur. Porro Sadidum filium Saturnus, quod secus aliquid de illo suspicaretur, gladio suo jugulavit, manusque paternas exstincti sanguine cruentavit. Mox etiam filiam truncavit capite, ut reliqui omnes Dii hanc Saturni mentem penitus obstupescerent. At Cœlus cum interim exsularet, post aliquod temporis intervallum Astarten filiam virginem cum duabus aliis sororibus, Rhea et Dione summisit, quæ Saturnum fraude insidiisque tollerent. Verum Saturnus amore blanditiisque captas sorores ambas secum matrimonio copulavit. Quod cum Cœlus audiisset Fatum et Pulchritudinem cum aliis sociis adversus eum expeditionem jussit suscipere, quam pariter utramque Saturnus illecebris delinitam apud se retinuit.

ἐξοικειωσάμενος ὁ Κρόνος παρ' ἑαυτῷ κατέσχεν. Ἔτι δὲ ἐπενόησε Θεὸς Οὐρανὸς Βαιτύλια, λίθους ἐμψύχους μηχανησάμενος. Κρόνῳ δὲ ἐγένοντο ἀπὸ Ἀστάρτης θυγατέρες ἑπτὰ Τιτανίδες ἢ Ἀρτέμιδες, καὶ πάλιν τῷ αὐτῷ γίνονται ἀπὸ Ρέας παῖδες ἑπτὰ, ὧν ὁ νεώτατος ἅμα τῇ γενέσει ἀφιερώθη· καὶ ἀπὸ Διώνης θήλειαι, καὶ ἀπὸ Ἀστάρτης πάλιν ἄῤῥενες δύο, Πόθος καὶ Ἔρως. Ὁ δὲ Δαγὼν ἐπειδὴ εὗρε σῖτον καὶ ἄροτρον, ἐκλήθη Ζεὺς Ἀρότριος. Συδύκῳ δὲ τῷ λεγομένῳ δικαίῳ, μία τῶν Τιτανίδων συνελθοῦσα γεννᾶ τὸν Ἀσκληπιών. Ἐγεννήθησαν δὲ καὶ ἐν Περαίᾳ Κρόνῳ τρεῖς παῖδες, Κρόνος ὁμώνυμος τῷ πατρὶ, καὶ Ζεὺς Βήλος καὶ Ἀπόλλων. Κατὰ τούτους γίγνονται Πόντος καὶ Τύφων καὶ Νηρεὺς, πατὴρ Πόντου· ἀπὸ δὲ τοῦ Πόντου γίγνεται Σιδὼν, ἣ καθ' ὑπερβολὴν εὐφωνίας πρώτη ὕμνον ᾠδῆς εὗρε, καὶ Ποσειδῶν. Τῷ δὲ Δημαρούντι γίνεται Μελίκαρθος ὁ καὶ Ἡρακλῆς. Εἶτα πάλιν Οὐρανὸς πολεμεῖ Πόντῳ καὶ ἀποστὰς Δημαρούντι προστίθεται· ἔπεισί τε Πόντῳ ὁ Δημαροῦς, τροποῦται δὲ αὐτὸν ὁ Πόντος· ὁ δὲ Δημαροῦς φυγῆς θυσίαν ηὔξατο. Ἔτει δὲ τριακοστῷ δευτέρῳ τῆς ἑαυτοῦ κρατήσεως καὶ βασιλείας, ὁ Ἵλος τοῦτ' ἐστὶν ὁ Κρόνος Οὐρανὸν τὸν πατέρα λοχήσας ἐν τύπῳ τινὶ μεσογείῳ, καὶ λαβὼν ὑποχείριον ἐκτέμνει αὐτοῦ τὰ αἰδοῖα συνέγγυς πηγῶν τε καὶ ποταμῶν· ἔνθα ἀφιερώθη ὁ Οὐρανὸς, καὶ ἀπηρτίσθη αὐτοῦ τὸ πνεῦμα καὶ ἀπέσταξεν αὐτοῦ τὸ αἷμα τῶν αἰδοίων εἰς τὰς πηγὰς καὶ τῶν ποταμῶν τὰ ὕδατα, καὶ μέχρι τούτου δείκνυται τὸ χωρίον.

Præterea Cœlus Deus Bætylia reperit, animatos lapides insolenti arte molitus. Cæterum Astarte filias septem Titanidas sive Dianas Saturno peperit, simulque Rhea totidem filios, quorum postremus, ut primum lucem aspexit, consecratus est. Quin etiam ex Dione quidem puellas, ex Astarte vero mares præterea duos, Cupidinem Amoremque suscepit. Dagon autem, quod frumentum et aratrum invenisset, Aratrius Jupiter nuncupatus est. Sydyco, quem justum interpretamur, una ex Titanidis Aesculapium peperit. Saturno præterea liberi tres in Peræa nati, Saturnus, ejusdem cum patre nominis, Jupiter Belus et Apollo. His propemodum æquales Pontus Typho et Nereus Ponti pater. Ex Ponto Neptunus et Sido nascuntur. Sidonis autem ea suavitas et elegantia vocis erat, ut hymni modulate canendi artem princeps inveniret. A Demaroonte Melicarthus, qui et Hercules, procreatur, et mox Cœlus ad Demaroontis sese partes adjungens, Ponto, a quo defecerat, denuo bellum movet. At Pontus Demaroontem, qui magno impetu suos in fines incubuerat, in fugam vertit; ille autem felicis fugæ gratia sacrificium vovit. Porro Saturnus anno occupati regni altero supra tricesimum, ubi Cœlum patrem mediterraneo quodam in loco structis insidiis captum in potestatem habuisset, verenda ipsi juxta fontes fluviosque circumfusos amputavit: quo loco Cœlus idem postea consecratus est. Tum vero dispertitus ejus ac dissipatus spiritus est, et sanguis e vulnere defluens in vicinorum fontium ac fluviorum aquas distillavit. Locus etiamnum ostenditur.

VII. Κρόνον δ' ἀπιόντος οἱ ἀπ' Οὐρανοῦ περιώκουν ἐν ἀξιώματι γενόμενοι. Κατὰ τοῦτον τὸν χρόνον Πώρας ἀφ' ἡλίου ἀνατέλλοντος παραγενόμενος νάον τ' ἀφιέρωσεν Οὐράνῳ καὶ στήλας Βαράτῳ πατρί· καμήλῳ δὲ τὴν χώραν διελαύνων τὰ ἱερὰ διεφύλαξε καὶ τοῖς ἀπὸ τοῦ Οὐρανοῦ ἐβοήθησεν.

Ἀστάρτη δὲ ἡ μεγίστη καὶ Ζεὺς Δημαροῦς καὶ Ἄδωδος βασιλεὺς Θεῶν ἐβασίλευον τῆς χώρας Κρόνου γνώμῃ· ἡ δὲ Ἀστάρτη ἐπέθηκε τῇ ἰδίᾳ κεφαλῇ βασιλείας παράσημον κεφαλὴν ταύρου· περινοστοῦσα δὲ τὴν οἰκουμένην εὗρεν ἀεροπετῆ ἀστέρα, ὃν καὶ ἀνελομένη ἐν Τύρῳ τῇ ἁγίᾳ νήσῳ ἀφιέρωσε. (Τὴν δὲ Ἀστάρτην Φοίνικες τὴν Ἀφροδίτην εἶναι λέγουσι). Καὶ ὁ Κρόνος δὲ περιὼν τὴν οἰκουμένην τῇ Ἀθηνᾷ τῇ ἑαυτοῦ θυγατρὶ δίδωσι τῆς Ἀττικῆς τὴν βασιλείαν.

Λοίμου δὲ γενομένου καὶ φθορᾶς τὸν ἑαυτοῦ μονογενῆ υἱὸν Κρόνος Οὐράνῳ πατρὶ ὁλοκαρποῖ καὶ τὰ αἰδοῖα περιτέμνεται, ταὐτὸ ποιῆσαι καὶ τοὺς ἅμ' αὐτῷ συμμάχους καταναγκάσας· καὶ μετ' οὐ πολὺ ἕτερον αὐτοῦ παῖδα ἀπὸ Ῥέας, ὀνομαζόμενον Μοὺθ, ἀποθανόντα ἀφιεροῖ. (Θάνατον δὲ τοῦτον καὶ Πλούτωνα Φοίνικες ὀνομάζουσι.

Καὶ ἐπὶ τούτοις ὁ Κρόνος Βύβλον μὲν τὴν πόλιν τῇ Θεᾷ Βααλτίδι, τῇ καὶ Διώνῃ δίδωσι, Βηρυτὸν δὲ Ποσειδῶνι καὶ Καβείροις, Ἀγρόταις τε καὶ Ἁλιεῦσιν, οἱ καὶ Πόντου λείψανα εἰς τὴν Βηρυτὸν ἀφιέρωσαν.

Πρὸ δὲ τούτων Θεὸς Τάαυτος μιμησάμενος τὸν Οὐρανὸν, τῶν Θεῶν ὄψεις Κρόνου τε καὶ Δαγῶνος

VII. Saturnus autem cum discessisset, Cœli socii hæc incolebant loca, magnaque erant auctoritate. Eodem fere tempore Poras, ex Oriente advena, Cœlo templum consecravit, patrique Barato columnas; camelo autem vectus per hanc regionem, sacra tuebatur, Cœlique cultores defendebat.

Astarte vero, quæ Maxima nominatur, Jupiter Demaroon et Adodus Deorum rex in ea regione Saturno consentiente regnabant. Astarte capiti suo tanquam regni insigne, tauri caput imposuit; cumque terrarum orbem peragraret, lapsam de cœli stellam reperit eamque in Tyro sancta insula consecravit. (Cæterum hanc ipsam Astartem Phœnices Venerem esse memorant.) At vero Saturnus, dum orbem lustrat universum, Minervæ filiæ totius Atticæ regnum tradit.

Ac diræ pestilentiæ inclementia exitioque commotus, filium, quem unum ex legitima susceperat uxore, Cœlo patri totum flammis consumtum immolat; tum sibi verenda circumcidit, sociosque omnes ad simile factum per vim adigit; nec multo post Muth filium, quem ex Rhea genuerat, vita functum consecrat (quem Phœnices modo Mortem, modo Plutonem appellant.

Deinde Saturnus Byblum urbem Deæ Baaltidi, quæ etiam Dione vocabatur, Berytum autem Neptuno et Cabiris, Agricolis item et Piscatoribus dono dedit, ubi Ponti reliquias iidem consecrarunt.

Taautus vero Deus cum jam antea Cœli imaginem effinxisset, mox Saturnum etiam atque Dagonis

καὶ τῶν λοιπῶν διετύπωσε τοὺς ἱεροὺς τῶν στοιχείων χαρακτῆρας· ἐπενόησε δὲ καὶ τῷ Κρόνῳ παράσημα βασιλείας, ὄμματα τέσσαρα ἐκ τῶν ἐμπροσθίων καὶ τῶν ὀπισθίων μερῶν, δύο δὲ ἡσυχῇ μύοντα καὶ ἐπὶ τῶν ὤμων πτερὰ τέσσαρα, δύο μὲν ὡς ἱπτάμενα, δύο δὲ ὡς ὑφειμένα. Τὸ δὲ σύμβολον ἦν, ἐπειδὴ Κρόνος κοιμώμενος ἔβλεπε καὶ ἐγρηγορὼς ἐκοιμᾶτο· καὶ ἐπὶ τῶν πτερῶν ὁμοίως, ὅτι ἀναπαυόμενος ἵπτατο καὶ ἱπτάμενος ἀνεπαύετο.

Τοῖς δὲ λοιποῖς θεοῖς δύο ἑκάστῳ πτερώματα ἐπὶ τῶν ὤμων, ὡς ὅτι δὴ συνίπταντο τῷ Κρόνῳ· καὶ αὐτῷ δὲ πάλιν ἐπὶ τῆς κεφαλῆς πτερὰ δύο· ἓν ἐπὶ τοῦ ἡγεμονικωτάτου νοῦ, καὶ ἓν ἐπὶ τῆς αἰσθήσεως.

VIII. Ἐλθὼν δὲ ὁ Κρόνος εἰς Νότου χώραν, ἅπασαν τὴν Αἴγυπτον ἔδωκε θεῷ Τααύτῳ, ὅπως βασίλειον αὐτῷ γένηται. Ταῦτα δὲ πρῶτοι πάντων ὑπομνηματίσαντο οἱ ἑπτὰ Συδὺκ παῖδες Κάβειροι καὶ ὄγδοος αὐτῶν ἀδελφὸς Ἀσκληπιὸς, ὡς αὐτοῖς ἐνετείλατο θεὸς Τάαυτος. Ταῦτα πάντα ὁ Θαβίωνος παῖς πρῶτος τῶν ἀπ' αἰῶνος γεγονότων Φοινίκων ἱεροφάντης ἀλληγορήσας τοῖς τε φυσικοῖς καὶ κοσμικοῖς πάθεσιν ἀναμίξας παρέδωκε τοῖς ὀργιῶσι καὶ τελετῶν κατάρχουσι προφήταις· οἱ δὲ τὸν τύφον αὔξειν ἐκ παντὸς ἐπινοοῦντες, τοῖς αὐτῶν διαδόχοις παρέδωσαν καὶ τοῖς ἐπεισάκτοις· ὧν εἷς ἦν Ἴσιρις, τῶν τριῶν γραμμάτων εὑρετὴς, ἀδελφὸς Χνᾶ τοῦ πρώτου μετονομασθέντος Φοίνικος.

cæterorumque Deorum vultus, unaque sacros elementorum characteres expressit. Quin etiam insigne regni Saturno ejusmodi excogitavit, oculos in vultu binos ac totidem in occipite, quorum duo placide connivere videbantur: alas item singulis in humeris geminas, ex quibus explicatæ duæ, duæ vero contractæ ac demissæ erant. Atque oculorum symbolo significatum voluit Saturnum et dormiendo cernere, et dormire vigilando; alarum autem et volare quiescendo et volando quiescere.

Ceteris autem Diis alas in humeris duas tantum attribuit, quippe qui Saturnum ipsum volando sequerentur. Ad ejusdem Saturni caput alas geminas affinxit, quarum altera mentis principatum, altera sentiendi vim indicaret.

VIII. Saturnus autem cum in Noti venisset principatum, Taautum Deum Aegypti universæ regem creavit. Atque hæc principes omnium Cabiri septem liberi Sydici cum Aesculapio fratre octavo, ipsiusmet Taauti jussu in commentarios tabulasque retulerant. Thabionis autem filius, primus apud Phœnices ex omni memoria sacrorum interpres, eadem allegoriis quibusdam ementitus, cum rerum naturalium et eorum, quæ passim hoc in mundo contingunt affectionibus conjuncta, Prophetis orgia celebrantibus et sacrificiorum mysteriorumque principibus tradidit. Qui deinceps inanem hânc ostentationem, quam omni spe omnique studio augere conati erant, suis quoque successoribus et initiatis reliquere, quorum unus Isiris quidam fuit, trium inventor literarum, frater Chnæ illius, qui primus postea Phœnix vocatus est.

IX. Οἱ δὲ Ἕλληνες εὐφυίᾳ πάντας ὑπερβαλλόμενοι τὰ μὲν πρῶτα πλεῖστα ἐξιδιώσαντο καὶ τοῖς προκοσμήμασι ποικίλως ἐξετραγώδησαν, ταῖς τῶν μύθων ἡδοναῖς θέλγειν ἐπινοοῦντες παντοίως ἐποίκιλλον· ἔνθεν Ἡσίοδος, οἱ τε κυκλικοὶ περιηχημένοι Θεογονίας καὶ Γιγαντομαχίας ἰδίας καὶ ἐκτομὰς, οἷς συμπεριφερόμενοι ἐξενίκησαν τὴν ἀλήθειαν· σύντροφοι δὲ τοῖς ἐκείνων πλάσμασιν αἱ ἀκοαὶ ἡμῶν γενόμεναι καὶ προληφθεῖσαι πολλοῖς αἰῶσιν ὡς παρακαθήκην φυλάσσουσιν, ἣν παρεδέξαντο μυθοποιΐαν, καθάπερ καὶ ἀρχόμενος εἶπον, ἥ τις συνεργηθεῖσα χρόνῳ δυσεξίτητον τὴν κατοχὴν αὐτοῖς εἴρασται, ὥτε τὴν μὲν ἀλήθειαν δοκεῖν λῆρον, τὸ δὲ τῆς ἀφηγήσεως νόθον, ἀλήθειαν.

Β'.

I. Πρὸς δὲ Σάβιβον ποιήσαντος πόλεμον Τυφῶνος, ἐς τὸ ἴδιον κατέθετο ἐκείνου ἀπορίαν ὁ Δημαροῦς· τῶν δὲ Καβείρων παραγενομένων, εἰς τῆν γῆν ἀποβὰς, τὸν μὲν Σάβιβον ἐνίκησε· τήν δὲ χώραν ὑφ' ἑαυτῷ ποιησάμενος, Ἰούρῳ ἐδωκεν ἀδελφῳ.

II. Ἀπελθόντων δὲ τῶν Καβείρων, οἱ ἀμφὶ Τάαυτον τῆς ἐπικρατείας ἐπιθυμήσαντες, τὸν δὲ βασιλέα

IX. At vero Græci, homines præ ceteris gentibus politi admodum et elegantis ingenii, primum quidem istorum pleraque sibi tanquam propria vindicarunt; sed cum aures atque animos fabularum voluptate permulcere vellent, novis eadem ac multiplicibus postea commentorum, quasi ornamentorum accessionibus supra modum exaggerarunt. Atque hinc Hesiodus cyclicique poëtæ, quorum fabellis omnia circumsonant, propria sibi quædam Gigantum ac Titanum certamina castrationesque confinxere. Quæ cum illi passim et ubique jactarent, veritatem ipsam oppresserunt. Aures vero nostræ jam inde ab infantia illorum fictionibus assuetæ, et opinionibus per multa sæcula propagatis occupatæ, quam semel accepere fabularum vanitatem, perinde ac depositum aliquod, ut statim ab initio dixi, custodiunt, quod ab ipso tempore vires ac robur acceperit, possessionemque ita confirmavit suam, ut eam excutere longe difficillimum sit, jamque veritas ipsa nugarum, adulterinæ vero ac spuriæ narrationes loco veritatis habeantur.

LIBER SECUNDUS.

I. Cum autem Typho Sabibo bellum inferret, Demaroon Sabibi calamitate usus, Cabiris adjuvantibus, naves ad terram appulit, vicitque Sabibum; regnum autem ejus expugnatum Juro dedit fratri.

II. Cabiri autem cum discessissent, Taauti comites, potestatis cupidi, regem fugarunt, pendentes-

ἐκβαλόντες, τῆς χώρας ἐβασίλευον αὐτοκράτορες· πόλεις δὲ πολλὰς κατοικοῦντες, πολλὴν εἶχον δύναμιν· τὰ μὲν γὰρ αὐτῶν ποίμνια τὰς παρὰ τῇ θαλάττῃ κατεῖχον νομὰς, αὐτῶν δὲ τὰ μεθόρια ἦν ἐν Εἰλώθᾳ. Τααύτῳ δὲ καὶ τοῖς σὺν αὐτῷ ἐπολέμουν πολὺν χρόνον.

III. Ὁ δ' Ἀμόριος υἱὸς ἦν τῶν Καβείρων. Ἀμορίῳ δὲ παῖδες ἦσαν Σίδιμος καὶ Χίττιος· Χίττιος δὲ ἀνδρὸς Ὀνακύνου θυγατέρας πρὸς γάμον ἀγαγὼν, πέντε ποιεῖται ἐξ αὐτῶν παῖδας· πόλιν δὲ κτίσας Ἄραδον ἔδωκεν Ἀδονίῳ υἱεῖ. Ἀδονίου δὲ ἀδελφοὶ κοιλάδας ποιησάμενοι μεγάλας, ᾤκουν ἐν τῷ ὄρει· οὗτοι οὖν ἐγεννήθησαν Χιττίῳ παῖδες.

IV. Ὁ δ' Ἀμόριος παρὰ Σιδίμῳ ᾤκει πόλιν κτίσαντι Σιδουμίαν τοὔνομα, ἐν αὐλῶνι εὐδαίμονι· ὁ δ' αὐλὼν ὁμοίως ἐκαλεῖτο Σιδίμου· πηγαῖς δ' ἄσφαλτον ἐκφερούσαις κύκλῳ περιείληπται πολλαῖς ἡ τοῦ Σιδίμου πόλις· τὴν μὲν οὖν ἄσφαλτον συλλέγων καὶ ἀγοραίοις πιπράσκων τοῖς εἰς Αἴγυπτον καταβαίνουσι, χρήματα ὁ Ἀμόριος χρηματίζει πολλά.

V. Πολέμου δὲ γενομένου ἐν Αἰγύπτῳ μεγάλου, τὴν δὲ μάχην νικήσαντος Τααύτου, τῶν ἐνοικούντων πολλοὶ ἔφυγον καὶ προδραμόντες τινὲς ἀνθρώπους εὗρον ἄσφαλτον φέροντας εἰς Αἴγυπτον· τούτους δ' ὁδηγοὺς λαβόντες ἐς Σιδίμου αὐλῶνα ἀφίκοντο· ὁ δ' Ἀμόριος ἀγροὺς αὐτοῖς ἔδωκε, πᾶν μὲν φυτὸν οὐ δυναμένους ἐκφέρειν· τῶν δ' Αἰγύπτων διώρυγας ποιησάντων, οἱ ἀγροὶ μετ' ὀλίγον ἦσαν πάμφοροι· μετ'

que a nemine regno præerant. Multas autem habitantes urbes, magna erant potentia, atque cum armentis peragrabant loca ad mare sita; eorum confinia erant apud Ilotham; cum Taauto ejusque sectatoribus diu gerebant bella.

III. Amorius quidam filius erat Cabirorum; eique erant Sidimus et Chittius filii; e quibus Chittius Onacyni viri filias in matrimonium duxit filiosque procreavit quinque; oppidum autem Aradum, quod condiderat, Adonio dedit filio; Adonii vero filii speluncas magnas sibi parantes montes incoluere; hi sunt a Chittio procreati.

IV. Amorius autem in ædibus Sidimi degebat, qui Sidumiam ædificarat oppidum in regione fecunda, et ipsa Sidimi appellata. Oppidum hoc multis cinctum erat fontibus asphaltum gignentibus; asphaltum autem collegit mercatoribusque vendidit iis, qui in Aegyptum proficiscuntur; hoc modo magnas divitias sibi paravit Amorius.

V. Cum autem bellum magnum in Aegypto gereretur, victorque evaderet Taautus, incolarum multi fugerunt; quorum primum agmen, cum occurrerent hominibus asphaltum in Aegyptum transferentibus, his usi itineris ducibus, in Sidimi venerunt regionem; Amorius vero agros iis dedit steriles, quos Aegyptii, canalem fodientes, brevi reddidere fertilissimos; secum autem apportaverant multas divitias, inter quas eminebant tauri duo aurei digi-

ἑαυτῶν δὲ πολλὰ μὲν ἤγαγον χρήματα, ἐξαιρέτως δὲ δακτυλιαίω ταύρω δύο χρυσοῦ πεποιημένω, οἷς ἦσαν οἱ ὀφθαλμοὶ λιθοκύλλητοι. Τοῦτ' ἀκούων Ἀμύριος προσῆλθε καὶ ἱερὰ τοῖς ταύροις ἰδὼν πεποιημένα, διὰ τίνα, ἔφη, αἰτίαν, ὦ ἄνδρες Αἰγύπτιοι, τούτους εἰσφέρετε θεοὺς τοὺς ἡμῶν ὑβρίζοντας; ἀπολώλαμεν δὴ πάντες ὑπὸ ὀργῆς θεῶν· τῆς δ' ὀργῆς παύσοιντο ἂν οἱ ἡμῶν θεοί, εἰ τοὺς ταύρους καθαιρήσειν διδοῖτε μοι· ὑμῖν δὲ Κρόνον πέμψω καὶ Βααλτίδα καὶ Πόντον, θεούς τε πατρίους καὶ τούτου τοῦ χωρίου προστάτας. Ἐκείνων δὲ μὴ βουλομένων δοῦναι, ὁ Ἀμύριος κατῆλθε δύσθυμος· τοῖς δ' Αἰγυπτίοις ἔδοξε βουλευσαμένοις νυκτὸς ἀποφυγεῖν πρὸς ἡλίου ἀνατολὴν καὶ κατοικῆσαι εἰς Βαράδου χωρίον παρὰ τῷ Εὐφράτῃ ποταμῷ, ὃν ἤκουσαν Νείλῳ ὅμοιον εἶναι· πάντα οὖν συναγόντες, νύκτωρ φεύγουσιν ἅμα τοῖς γυναῖξι καὶ τέκνοις. Τῇ δὲ ὑστεραίᾳ Ἀμόριος καὶ οἱ περὶ αὐτὸν διώξαντες καὶ πρὶν ἡμέρας ὁδὸν διεληλυθέναι, τοὺς φεύγοντας ἐπικαταλαβόντες, τοὺς μὲν ἄνδρας ἀπέκτειναν, τὰς δὲ γυναῖκας καὶ τέκνα καὶ ταύρους καὶ χρήματα πάντα κατήγαγον ἐς Σιδίμου αὐλῶνα.

VI. Σίδιμος δὲ ἰδὼν ταῦτα τὰ χρήματα βίᾳ ἀφείλετο καὶ τοῦτο χαλεπῶς φέροντα ἐκβάλλει πατέρα· τὴν δ' ἄσφαλτον συλλέγει αὐτός. Ἀμύριος οὖν διασωθέντας λαβὼν τοὺς ταύρους, πρὸς τὸν Χίττιον ἔφυγε καὶ ἐν τῇ πορείᾳ ὑπὸ λιμοῦ θανὼν, Πόντον θεὸν διεμαρτύρησε, τιμωρίαν παρὰ Σιδίμου λαβεῖν. Ὁ δὲ Πόντος τὰς δεήσεις δεξάμενος, τοῦτ' αὐτὸ, ἔφη,

tales, quorum oculi lapidibus erant ornati. Quod cum audivisset Amorius ad eos adiit templumque vidit tauris exstructum. Tum vero Aegyptios interrogavit, qua de caussa Deos secum apportassent, ipsius Diis infestos; omnes certe periimus Diis ira excandescentibus; sed forsan eorum defervesceret ira, si tauros mihi delendos traderetis; vobis autem Saturnum mittam et Baaltidem Pontumque, Deos patrios principesque regionis. Illis autem tradere recusantibus, Amorius discessit iratus; Aegyptiis vero noctu abire placuit Orientem versus atque in regno Baradi considere ad Euphratem sito fluvium, quem similem esse audiverant Nilo. Omnia sua igitur colligentes sub noctem una cum uxoribus et liberis discesserunt. Quum autem dies exoriretur, Amorius ejusque subditi eos persecuti sunt, atque priusquam diei iter emensi erant, invenere profugos; viros interfecere omnes, mulieres veros liberosque et tauros atque omnes divitias secum asportarunt in Sidimi regionem.

VI. Sidimus cum has divitias aspexisset, vi patri eas eripuit, eumque ægre id ferentem expulit civitate atque asphaltum ipse colligebat. Amorius tauros retinuit profugitque ad Chittium; qua in migratione, cum haud multum abesset, quin fame periret, Sidimi punitionem a Ponto petivit Deo, qui, eandem rem, in qua peccavisset Sidimus, exitio

ἐν ᾧ ἐποίησεν ἄδικα, Σίδιμον ταλαιπωρήσει καὶ αὐτίκα τῇ ἀσφάλτῳ πῦρ ἐνέβαλεν· ἐκάετο οὖν τὸ πεδίον καὶ ἀπώλετο ἐν τῷ χωρίῳ πάντα, ὁ μὲν Σίδιμος καὶ τὰ αὐτοῦ τέκνα καὶ πύλις καὶ βοσκήματα, ὥστε διεσώθη οὐδ' εἷς· οὕτως μὲν οἷν δέδυκεν αὐλὼν Σιδίμου· ἔστι δ' ἀντ' ἐκείνου λίμνη, τύφον ἀεὶ ἀναπέμπουσα, ἰχθύων δ' ἔρημος καὶ ἄπλευστος· ἡ δὲ ἀκτὴ δι' ἀκαρπίαν ἀοίκητός ἐστιν· ἐνιαχοῦ δὲ καὶ οὕτως γίνεται ἀβαθὴς, ὥστ' ἂν ἱππεὺς τοὺς πόδας διελάσειεν ἀκατάρδευτος· αὗται δ' αἱ διαβάσεις ἐπίσημοί εἰσι μεγάλαις ἐν τῇ ἀκτῇ στήλαις.

VII. Μετὰ ταῦτα δέκα βιοὺς ἔτη ἀπέθανεν Ἀμόριος· πάντες δ' αὐτοῦ ἔκγονοι καλοῦνται Ἀμορίου παῖδες· τοὺς μὲν οὖν ταύρους Χιττίῳ κατέλιπεν· οὗτος δὲ Πιμώσιδι δούλῳ, τὴν πατρίδα Αἰγυπτίῳ ἀνδριάντας καὶ διαδήματα καὶ ἄλλα πολλὰ χρυσᾶ ἐπισταμένῳ χωνεῦσαι, προσέταξε διάδημα ποιῆσαι βασιλικὸν ἐκ τῶν ταύρων· ὁ δὲ Πίμωσις κύκλον ἐποίησε χρυσεοστέφανον, ἑκωτέρωθεν ἄκρα χρυσᾶ ἔχοντα· τούτων τῶν ἄκρων ἦσαν τέσσαρα· ἐν ἑκάστῳ δὲ σμάραγδος· οἱ γὰρ τῶν ταύρων ὀφθαλμοὶ ἐγένοντο λιθοκόλλητοι· περιγενομένου δὲ χρυσοῦ ἐποίησε περιβραχιόνια καὶ ξιφιστῆρα χρυσοῦν· τοῦτον δὲ τὸν κόσμον Χίττιος εἶχε καὶ οἱ ἐν Ἀράδῳ μετ' αὐτὸν βασιλεῖς· οὗτοι μὲν γὰρ τοῦ Ἀδονίου ἦσαν ἔκγονοι, (ὃν εἶχε πρωτότοκον Χίττιος), πάντων τῶν Ἀμοραίων οἱ κράτιστοι. Χιττίου δ' ἀποθανόντος ἐβασίλευεν Ἀδόνιος· μετὰ δὲ τοῦτον οἱ αὐτοῦ παῖδες, τὰ πάντα ὀκτακόσια

ei fore, respondit, statimque asphalto ignem injecit; hoc modo omnia, quæ erant hac in regione, igne consumta sunt, Sidimus, ejusque liberi atque urbs et armenta, ut ne unus quidem evaderet salvus, vallisque Sidimi submersa; ejus autem loco exstitit lacus, vaporibus semper obductus, sine piscibus, navibusque haud frequentatus; litora propter sterilitatem non habitata; passim etiam vada, quæ eques sicco pede trajicere potest; hæc autem vada magnis in litore columnis sunt denotata.

VII. Decem annis post Amorius obiit; posteri ejus omnes Amorii appellantur filii. Tauros reliquit Chittio, qui Pimosidem servum, patria Aegyptium, statuas et diademata multaque alia ex auro formandi peritum, insigne regium ex tauris jussit formare. Pimosis igitur circulum corona aurea et ab utraque parte aureis radiis insignem effecit; tales radios quattuor habebat circulus, quorum smaragdo quisque erat ornatus; taurorum enim oculi lapidibus fuerant prætexti. Ex eo autem, quod restavit, auro armillas fecit et balteum, quæ erant ornamenta et Chittii et eorum, penes quos postea erat Aradi imperium, Adonii posterorum. Adonius autem Chittii primogenitus erat. Hi erant Amoræorum principes. Chittius cum abiisset, Adonius erat rex, et post ejus mortem, Adonii progenies per octingentos quadraginta annos. Pimosis ille edidit oraculum:

τεσσαράκοντα ἔτη. Τοῦ δὲ Πιμώσιδος ἦν λόγιον· ἐφ' ὅσον χρόνον μὴ κατερράγη τοῦτο τὸ διάδημα, ἔμμονος ἔσται τῶν Ἀμοραίων βασιλεία· τελευτῶν δ' ἐβασίλευσε καὶ αὐτὸς Ἀδόνιος καλούμενος· τούτου δὲ μαχομένου ἐν τῇ πρὸς Σομυραίους μάχῃ, ὁ τοῦ διαδήματος κατερράγη κύκλος ἐν κεφαλῇ· τελευτήσαντος οὖν Ἀδονίου μετ' οὐ πολὺν χρόνον ὑπὸ τῶν πολεμίων, καταλέλυται τῶν Ἀμοραίων ἀρχή.

VIII. Κατὰ τοῦτον χρόνον οἱ ἄνθρωποι εὐσέβουν περί τε Κρόνον καὶ τοὺς αὐτοῦ παῖδας· οὐ πολὺ δ' ὕστερον οἱ θνηταὶ μέγα φρονοῦντες καὶ ὑβρίζοντες τὰς τῶν τοῦ Κρόνου καὶ Τάαυτου ἀντιπάλων ἔγημαν θυγατέρας· παῖδες δ' αὐτῶν οἱ Ῥαφῖνοι καὶ Μοαλλίκοι, ἄθεοί τε καὶ τὸ μέγεθος δεινοί. Τοῦτ' ἰδὼν ὁ Κρόνος πρὸς τοὺς ἀμφὶ αὐτὸν, τὰ μέν, φησιν, ἐπιχθόνια πονηρὰ καὶ διεφθαρμένη· ἴωμεν οὖν ἐπ' Οὐρανόν· μέχρις ἐνταῦθα γὰρ οὐκ ἐξικνεῖται τῶν ἀνθρώπων ὕβρις· τὴν δὲ γῆν ἐν τῷ ἔπειτα χρόνῳ τιμηθῆναι ὑπὸ μὲν τῶν Γιγάντων καὶ Ναβάλων καὶ Μοαλλίκων καὶ Ὀνακύνων περιϊδῶμεν, πολέμῳ δὲ τὰς τῶν ἀνθρώπων ἐκπολιορκηθῆναι πόλεις. Ἐξ ἐκείνου οἱ ἐν τοῖς ὄρεσι κατοικοῦντες τοὺς ἐν τῷ πεδίῳ κακαποιοῦσι Γίγαντες.

IX. Ὁ δὲ Μελίκαρθος καὶ Ἰσρώας ἀδελφοὶ ἦσαν, Δημαροῦντος παῖδες· πρὸς μὲν οὖν τοὺς Γίγαντας πολεμήσαντες, πολλὴν ἐποιήσαντο λείαν· ὁ δὲ Μελίκαρθος ἐν τῷ πλήθει τῶν αἰχμαλώτων Δεισώνην ἰδὼν, καλὴν παρθένον, δεινῷ αὐτῆς ἐφέρετο πόθῳ· τοῦ δ' Ἰσρώρα αὐτὴν ἀφίεναι μὴ βουλομένου, Μελίκάρθου

Amoræorum non interiturum regnum, nisi frangeretur regium insigne, exitusque oraculo respondit; cum enim regum ultimus, cui itidem Amorii erat nomen, cum Somyræis prœlium committeret, circulus, quo cinxerat caput, fractus est, et rege ab hostibus mox interfecto, Amoræorum interiit regnum.

VIII. Illis temporibus Saturnum ejusque filios venerabantur homines; sed non multo post mortales, magnos sumentes spiritus, Saturni ac Taauti filias in matrimonium duxere, improbosque procrearunt et Rhaphinos et Moallicos, immani corporum magnitudine homines. Quod cum animadvertisset Saturnus, comites his verbis est allocutus: quia mala jam sunt terrena et corrupta, ad cœlum ascendamus, ubi tuti erimus ab hominum insolentia; terramque Gigantibus et Nabalis Moallicisque atque Onacynis demus diripiendam, hominumque oppida expugnanda. Ex illo tempore montani vexant campos incolentes.

IX. Melicarthus et Isroas fratres progeniti erant ex Demaroonte. Cum hi ex prœlio cum Gigantibus commisso victores domum redirent, magnasque agerent prædas, inter captivarum agmen Disonem conspexit Melicarthus, magnoque ejus amore flagrare cœpit. Isroas autem cum eam mittere nollet, postu-

δ' αἰτήσαντος, ὅτι· ποτέρου θέλει εἶναι, τῇ παρθένῳ ἐξείη κρίνειν, ἢ Δεισώνη τὸν Μελίκαρθον προείλετο, καλὸν μὲν ὄντα· ὁ δ' Ἰσρώας δυσειδὴς ἦν καὶ κακοφύης. Μελίκαρθος δὲ μέλεσι τὴν γυναῖκα ἐποίησεν εὐκλεᾶ· ταῦτα δὲ τὰ μέλη οἱ Τύριοι μέχρι τοῦδε μελίζουσι τῇ πρὸ τῆς τοῦ Μελικάρθου ἑορτῆς ἡμέρᾳ· Ἰσρώαν δὲ, ὡς Δεισώνην ἀναλάβοι, οἶκον πολιορκήσαντα οὕτως προσεῖπε Μελίκαρθος· Ἱέρακα μὲν ἀποκτείνει ἱεραξ, ἐν δ' ὄρει κέδρον ἀνατρέπει κέδρος ἐκπίπτουσα· τί δὲ ἔριδος ἐπιθυμεῖς Ἰσρώα, τί πρὸς ἀδελφὸν πολέμου; ἐμπείρως ἔχεις μου ἀνδρείου· σοί δὲ ἥκιστα πάντων βουλοίμην ἐντυγχάνειν ἐν τῇ μάχῃ. Δύο ἐσμὲν χειμάῤῥω, ὦ ἀδελφὲ, ἐκ τῆς αὐτῆς προορμῶντε νάπης. Τί οὖν ἔριδος ἐπιθυμεῖς, τί πολέμου πρός ἐμε ὦ Ἰσρώα; Ἐκεῖνος δὲ οὐκ ἀπεκρίνατο, ἀλλὰ τὰ τοξεύματα βαλὼν Δεισώνην διετόξευσε· καταπίπτουσαν δ' ἰδὼν προσορμᾷ Μελίκαρθος, εὑρίσκει δὲ ἤδη ἀποθάνουσαν· τὴν δὲ παῖδα καταθρηνῶν διὰ τριῶν ἡμέρων, πλοία λαμβάνει ὑπὸ τῶν Καβείρων· πολλοὶ δὲ ἦσαν συνοδοίποροι.

X. Κατελθόντες οὖν πρὸς τὴν θάλατταν ἐς ναῦν ἐνέβησαν καὶ ἀπέπλευσαν ἐς Κίττιον· τοῖς δὲ τοῦτο οἰκίζουσι χωρίον, ὑπὸ τῶν τὰ ὄρη κατοικούντων ἐκπολιορκουμένοις βοηθήσας, πολιορκοῦντας, ὅσους μὲν κατέλαβε νικήσας, ἀπέκτεινε. Ταῦτα ἀκούσαντες καὶ οἱ ἄλλοι κατῆλθον φοβούμενοι, καὶ ἐσπείσαντο· τὸν δὲ Μελίκαρθον αφιέναι οὐκ ἠθέλησαν, ἀλλ' ἀπέδειξαν βασιλέα· τὴν δὲ βασιλείαν οὐ παρεδέξατο, ἀλλ' ἀπο-

lavit Melicarthus, ut virgo maritum eligat; Disone Melicarthum eligit, pulcherrima præditum forma. Isroas autem erat deformis; Melicarthus celeberrimam uxorem reddidit carminibus, quæ Tyrii carmina adhuc canunt die proximo ante festum Melicarthi. Cum autem Isroas, ut recuperaret Disonem, fratrem oppugnaret, his eum verbis allocutus est Melicarthus. Accipitrem interficit accipiter, cedrumque in montibus cædit cedrus corruens; sed quid, Isroa prœlii es cupidus, quid belli contra fratrem? Novisti me virum, attamen tibi in prœlio occurrere minime vellem. Duo sumus torrentes, in eodem monte orti, o frater. Quid igitur prœlii cupidus es, quid belli contra me Isroa? Ille vero non respondit, sed telo Disonem transfixit, ac Melicarthus ad prolapsam accurrens, animadvertit eam jam esse mortuam. Tres dies puellam deploravit; tum naves a Cabiris nactus, multis comitantibus, abiit.

X. Ad mare descenderunt, navigaruntque Cittium versus insulam; incolis autem, a montanis bello oppressis, auxilium tulit, victorque interfecit omnes, quos comprehendit, hostes. Quibus rebus territi et cæteri descenderunt, fœdusque fecere. Melicarthum vero apud se retinere voluerunt, regemque creavere, sed ille imperium non accepit. Deinde in ea, quæ insulæ e regione sita sunt, litora navi-

πλέων παρεγένετο εἰς τὴν τῆς νήσου καταντικρὺ παραλίαν· τούτῳ γὰρ χωρίῳ Ἴουρος ἐνῴκει πάτρως, πέντε ὀργυίας ἔχοντι τὸ βάθος κόλπῳ προσοικῶν· ἐσπλέων οὖν Μελίκαρθος τὸν γέροντα κατεῖδεν ἐν κατασκίῳ καθήμενον τόπῳ, Ἴουρος δὲ τοὺς ὀφθαλμοὺς διαφθαρμένος τὸν προσερχόμενον οὐκ ᾔσθετο. Μελίκαρθος δὲ ἀναγνοὺς αὐτὸν καίπερ γέροντα, οὐ γὰρ προσωμίλησεν αὐτῷ διὰ πολλοῦ χρόνου, περιέβαλε καὶ τῷ στόματι φίλων, μακρότατος σοί, φησιν, ἔστω βίος· Ἴουρος δὲ τὸν μὲν πρῶτον οὐκ ἀναγνοὺς αὐτὸν, ἡ μὲν φωνὴ, ἔφη, εὔγνωστος· ἀλλ' εἰπὲ καὶ τὴν πατρίδα καὶ τὸ γένος, ἵν' ἀναγινώσκω σε· τυφλὸς γὰρ ὢν ὁρᾶν σε οὐ δύναμαι. Ἐκεῖνος οὖν, Μελίκαρθος εἰμὶ, ἀπεκρίνατο, ὁ τοῦ ἀδελφοῦ παῖς· τότε δὲ τὰ δάκρυα κατὰ τῶν τοῦ γέροντος ἀπελείψατο παρειῶν. Ἐνταῦθα Μελίκαρθος πολλὰς ἡμέρας ἡσυχίαν ἄγει, τῆς τε θαλάσσης κυμαινούσης καὶ πολλοῦ γενομένου χειμῶνος. Ἐν τῷ μεταξὺ χρόνῳ Ἴουρος νόσῳ περιπίπτων, καὶ ἤδη πρὸς τῷ τελευτᾶν ὢν αἰσθανόμενος, ἄκουσον τοίνυν, ἔφη, Μελίκαρθε, τὸν ἐμὸν ἔσχατον λόγον· σύ μὲν οὖν, ὦ φίλε, ἀνδρεῖος εἶ καὶ θαῤῥάλεος, δι' ὃ καὶ λαμπρόν σοι ἔσται ὄνομα· τὸ μὲν γὰρ πέλαγος ἄγνωστον νικήσεις καὶ τὰ τῆς γῆς ἔσχατα ὄψει πάντων πρῶτος· καὶ ἔσῃ τοιοῦτος, οἰόνπερ καὶ Κρόνος καὶ οἱ ἄλλοι ποιήσονται ἐν ἴσῳ· ταῦτα λέγων Ἴουρος ἀπέθανε· τεθνεῶτι οὖν ποιήσας τὰ νομιζόμενα πενθικῶς εἶχεν ὁ Μελίκαρθος ἡμέρας τρεῖς· ἀναστησάμενος δὲ τετάρτῃ ἐλούσατο καὶ, τὴν μάχειραν ἀνα-

gavit; hic enim patruus habitabat, ad sinum trium orgyiarum, quem cum incurreret, senem loco umbrosiore sedentem conspexit; Jurus autem, oculis captus advenam non animadvertit. Melicarthus, quanquam valde consenescentem ex longo tempore haud conspexisset, statim tamen agnovit, eumque amplexus, atque osculatus, longissima, inquit, tibi sit vita. Sed Jurus primo eum cognoscendi carens facultate, vocis quidem, inquit sonitus mihi est notus, sed patriam etiam genusque dicas, ut te agnoscam; cœcus enim videre te non possum. Ille autem cum responderet, sese Melicarthum esse, fratris filium, lacrymæ a genis defluxere senis. Loqui autem non poterat. Hoc loco Melicarthus per multos remanebat dies, quia mare fluctuabat, sæviebantque venti. Interea cum Jurus morbo affectus, se mox obiturum esse, sentiret, Melicarthum his fere verbis allocutus est: Percipias ultimum meum sermonem. fortis es, o carissime, atque animosus; propterea etiam nomen tuum celebrabitur inter homines; nam ignota pernavigabis maria, omniumque princeps ultima terræ videbis, tantaque eris auctoritate, ut Saturni cæterorumque Deorum societate sis dignus. Quod cum dixisset, Jurus mortuus est. Melicarthus sepeliit eum ac mœrebat triduum; quarto die surgens lautus est gladiumque sumsit; tum comites adhortatus est, ut navem conscenderent atque in

λαβὼν, ἐμβαίνωμεν, ἔφη, ὦ ἄνδρες εἰς ναῦν, πρὸς ἑσπέραν πλευσούμενοι εἰς γῆς ἔσχατα κατὰ τὸν Ἰούρου λόγον.

XI. Ἐμβάντες μὲν οὖν ναῦν ἀνήγαγον· ἀλλὰ μετὰ πολλὰς ἡμέρας χειμῶνος γενομένου πολλοῦ, ὑπὸ τῶν ἀνέμων ἐς κύλπον ἀπελήφθησαν τεναγίζοντα. Ἀπώλοντό τινες ἐν τούτῳ τῷ πόπῳ· οἱ δὲ πλεῖστοι εἰς τὴν παραλίαν διεσώθησαν· ὕλη δὲ ναυπηγήσιμος οὐκ ἐγένετο ἐν τῷ χωρίῳ· πολλῶν δὲ παρόντων χειμώνων, τοῦ δ' ἐνταῦθα πύντου διὰ τῶν ῥαχιδίων καὶ σκοπέλων ἥκιστα πάντων ἀκινδύνου ὄντος, αὐτοῖς κατὰ γῆν ἔδοξε πορεύεσθαι, ἕως ἂν ὕλην εὕροιεν ἱκανὴν καὶ λιμένα ἀκίνδυνον. Προχωροῦντες οὖν παρεγένοντο ἐς ὑπώρειαν τοῦ καλουμένου Λιβάνου ὄρους, τῆς Ἐρσιφωνίας. Ἐπὶ γοῦν τῇ θαλάττῃ παροδεύειν ἦν δυνατόν· ἀκούσας δὲ Μελίκαρθος, ὅτι τοῦ ὄρους ἄκρα ἱερά ἐστι καὶ ὑπὸ τῶν θεῶν οἰκεῖται, τοὺς μὲν συνοδοιπόρους προαπέστειλεν ἐπὶ τῇ θαλάττῃ παραπορευομένους· αὐτὸς δ' ἀνέβη θυσίας ποιησόμενος καὶ προσκυνήσων. Τετταράκοντα οὖν ἡμέρας διέμεινεν ἐν τῷ ὄρει· καταβαίνων δὲ εἰς τὰ πρὸς ἑσπέραν τετραμμένα τῆς χώρας, τοὺς μὲν ἄλλους παρὰ ποταμῷ μεγάλῳ ἀνεῦρε, πλοῖον ἤδη πεποιηκότας ἐν τῷ πέραν τοῦ ποταμοῦ. Τοῦτο οὖν ὑψηλότατον ὄρος καὶ ἄβατον οὐπώποτε ὑπερέβη οὐδείς, εἰ μὴ ὁ Μελίκαρθος· δράκοντες μὲν γὰρ ἐν ταῖς λίμναις εἰσὶ πολλοὶ καὶ μεγάλοι, ἐν δὲ τῇ ὑπωρείᾳ δαίμονες τῶν κατὰ τοὺς δρυμούς· τὸ δὲ ὄρους μέσον ἐπινέφελον, ὑπὲρ δὲ τῶν νεφελῶν τὰ ἄκρα

Occidentem navigarent ad ultimas terræ regiones, prouti dixerat Jurus.

XI. Navigarunt igitnr navem conscendentes; sed multis diebus præterlapsis ventus oritur vehementissimus, quo navis in sinum vadosum agitur. Nonnulli quidem perierunt hoc loco, sed plerique ad litus pervenere vivi. Materia navalis in hac regione non inveniebatur; et quum procellis, saxis et scopulis navigatio valde periculosa esset, omnibus, iter terra faciendum esse visum est, donec materiem invenirent navalem portumque opportunum. Profecti sunt igitur ac pervenerunt ad radices Libani montis in Ersiphonia, quem facile præterire poterant ad mare. Melicarthus autem qui cacumina montis sacra esse audivit atque a Diis inhabitata, comites ad mare præterire jussit. Ipse ascendit in cacumen montis, ut sacra faceret atque adoraret; quadraginta in monte erat dies, cum antem descenderet, atque Occidentem versus proficisceretur, reperit ad flumen magnum comites, qui navem jam ædificaverant in ripa ulteriori fluvii; montem hunc altissimum transituque difficillimum, nisi Melicarthus, nemo unquam superavit; serpentes multi inveniuntur in paludibus eximia magnitudine, et Dei sylvestres in radicibus montis; in regionibus mediis aër est nebulosus, et quæ altius eminent cacumina nive oppleta sunt. Hic sunt Deorum sedes, ad

ἀεὶ νιφόβλητα· ἐνταῦθα δὲ οἰκοῦσιν οἱ θεοί· οὐδεμία δὲ πρόσοδος, εἰ μὴ ἀγνοτάτῳ. Ὁ δὲ ποταμὸς ἀπῆν πέντε ἡμερῶν ὁδόν· ποταμὸν δ' ἀπολιπόντες εἰς νῆσον ἀφίκοντο, ἔνθα βοσκημάτων ἦσαν νομαὶ πολλαί, ὧν ληψόμενοι ἀπὸ τῆς νεὼς ἐξέβησαν, ἀπορίας τῶν ἐπιτηδείων γενομένης. Ὀβίβακρον δὲ ποιμένα κατακωλῦσαι τοῦ ἀπελαύνειν ἐπιόντας βουλόμενον Μελίκαρθος ἐφυγάδευσε· τότε δὲ τῶν βοσκημάτων ἀφείλοντο, ὅσου ἐδέοντο· ὁ μὲν οὖν ἄνθρωπος τηλόθεν αὐτοῖς ἐπετίμησεν. Οἱ δὲ ἀμφὶ Μελίκαρθον γλώττῃ χρώμενου τῶν βαρβάρων καὶ βατταρίζοντος οὐκ ἐπιστήμονες, γελῶσι καὶ αὐτοῦ διάλεκτον μιμούμενοι πολλὰ εἰς αὐτὸν σκώπτουσιν. Ἀπελάσαντες δ' εἰς νῆσον προσκειμένην τὸ δεύτερον ναναγοῦσι· πάντες δὲ νηχόμενοι διασώζονται εἰς παραλίαν.

XII. Βίος δ' ἦν αὐτοῖς ἀπὸ τῶν κόγχων καὶ ἰχθύων τῶν ἐν τῷ κύλπῳ ἁφθόνων· ἀσθενοῦντος μὲν γὰρ τοῦ Μελικάρθου, ὁ τὸν δρυμὸν ἐμβῆναι ἐπὶ θήραν τολμῶν ἦν οὐδείς, διὰ ἦχόν τινα ἐν τῇ ὕλῃ ὑπερβάλλοντα, ὡς βρυχηθμὸν θηρίου τινὸς δεινοῦ. Μελίκαρθος δ' ἑαυτὸν ἀναλαβὼν, εἰς τὸ ὄρος ἀνέβη μόνος· οἱ γὰρ περὶ αὐτὸν, μάλα φοβούμενοι, οὐκ ἠθέλησαν ἕπεσθαι· αὐτὸς μὲν οὖν ἀναβὰς καὶ τὴν ὕλην διελθὼν, γυναῖκα καλὴν ἀνέβλεψεν εἰς ὕπνον καταφερομένην· ἡ δὲ παρθένος ἀνεγείρεται καὶ προσκαλεῖται αὐτόν. Μελίκαρθος οὖν προσερχόμενος τὰ τῆς γυναικὸς ἐξεπλάγη σκέλη ἐχιδναῖα· προσῆλθε δ' ὅμως ἀφρικτὶ, αὐτῆς ακουσόμενος τὸ θέλημα· ἡ δὲ, εἰμὶ μὲν, ἔφη, Λεια-

quas nemini patet aditus, nisi sanctissimo; quinque dierum iter a monte aberat flumen illud, quod cum reliquissent, transvecti sunt in insulam, ubi multa invenere armenta, egressique sunt, ut sibi boves eligerent nonnullos, victu cum carerent. Obibacrus quidem pastor eos impedire conatus est, ne amoverent boves; sed Melicarthus eum fugavit. Tum de armentis vi abstulerunt omnia, quibus egebant. Homo vero eminus de rapina eos objurgavit; sed cum barbarorum uteretur lingua ac balbutiret, quid sibi vellet, percipere non poterant, risuique erat iis; ejus autem verba imitati, ludibrio eum habebant. Cum autem in insulam navigarent, haud procul sitam, iterum naufragium passi sunt, natantesque ad litus pervenere omnes.

XII. Conchis ibi ac piscibus, quibus abundabat sinus, vitam tolerabant. Nam, Melicartho ægrotante, nemo erat, qui sylvam inire venatum conatus esset, cum terribili impleretur sonitu, ac si fera quædam rugiret bestia. Melicarthus autem, cum convaluisset, sylvam ingressus est, nemine comitante, quia omnes magno essent in metu. Ascendens itaque solus, montesque pervagatus, mulierem reperit dormientem, quæ somno soluta eum prope accedere jussit. Quod cum Melicarthus fecisset, serpentis formam habentia obstupuit femora; attamen imperterritus prope ad virginem accessit, ut ejus perciperet voluntatem. Illa, se famulam ait esse Liathanæ reginæ,

Θάνης βασιλείας δούλη, εἰς ταύτην τὴν νῆσον ἐκβεβλημένης ὑπὸ Μασισάβου· ἴωμεν δὴ πρὸς αὐτήν· τῇ οὖν δούλῃ ἑπόμενος, τὴν βασίλειαν κατεῖδεν ἐν κοίλῳ μεγάλῳ, δούλας δὲ περὶ αὐτὴν πάσας τῇ πρώτῃ ὁμοίας τοὺς πόδας. Ἡ μὲν οὖν Λειαθάνα, πρότερον ἤδη, ἔφη, ἑώρακά σε ἄνδρα ὄντα ἀγαθόν τε καὶ ἀνδρεῖον καὶ τιμωρίαν ληψόμενον ὑπὲρ ἐμοῦ παρὰ Μασισάβου, τῆς πατρίδος ἐκβαλόντος με καὶ ἐπῳδαῖς ἀναγκάζοντος ἐνταῦθα μένειν· ἐκ ταύτης οὖν τῆς νήσου ἀπελαύνων καὶ ἀποκτείνων αὐτὸν, καλὰ ἐν τῇ αὐτοῦ οἰκίᾳ λήψει καὶ μεγάλα χρήματα· βασιλεύει δὲ ἐν Ταρτήσσῳ ἐν τοῖς ἐσχάτοις τῆς γῆς· εἶτα κιβώτιον ἔλαβε, καὶ Μελικάρθῳ διδοῦσα, ἔνεστιν, ἔφη, φάρμακόν τι θανατοφόρον, ᾧ χρώμενος τοξικῷ, ἐκεῖνον τάχα κατατοξεύσεις. Μετὰ ταῦτα Μελίκαρθος πρὸς τοὺς ἀμφὶ αὐτὸν κατῆλθε δι' ὕλης, δρακόντων καὶ ὄφεων καὶ ἐχιδνῶν ὑπερεμπλησθείσης, θείων τὴν χώραν κατοικούντων.

Τὴν μὲν γὰρ τοῦ Δράκοντος φύσιν καὶ τῶν ὄφεων αὐτὸς ἐξεθείασεν ὁ Τάαυτος καὶ οἱ μετ' αὐτοῦ, Φοίνικές τε καὶ Αἰγύπτιοι· πνευματικώτατον γὰρ τὸ ζῶον πάντων τῶν ἑρπετῶν καὶ πυρῶδες ὑπ' αὐτοῦ παρεδόθη· παρ' ὃ καὶ τάχος ἀνυπέρβλητον διὰ τοῦ πνεύματος παρίστησι, χωρὶς ποδῶν τε καὶ χειρῶν, ἢ ἄλλου τινὸς τῶν ἔξωθεν, ἐξ ὧν τὰ λοιπὰ ζῶα τὰς κινήσεις ποιεῖται· καὶ ποικίλων σχημάτων τύπους ἀποτελεῖ, καὶ κατὰ τὴν πορείαν ἑλικοειδεῖς ἔχει τὰς ὁρμὰς, ἐφ' ὃ

quam in hanc insulam demovisset Masisabas, eumque adhortata est, ut reginam adiret. Famulam igitur secutus, reginam conspexit magno in antro sedentem, famulisque cinctam, quibus omnibus eadem erant femora, atque ei, quæ eum adduxerat. Liathana autem his verbis eum alloquitur: Jam diu te fortem animosumque virum esse animadverti, ac me vindicaturum a Masisaba, qui civitate me expulit, magicisque carminibus ibi remanere cogit. Navem igitur solves et eum trucidabis, quo facto multas in ejus ædibus invenies divitias. Regnat autem ille in Tartessiorum regione, ultimi orbis populi. Tum cistellam ei dedit, quam continere affirmavit venenum; quo si telum ungeret, illico hostem sagitta exanimaret. Deinde ad suos rediit Melicarthus per saltum, draconibus et serpentibus et viperis refertum, divinis hujus regionis incolis.

Draconis enim et serpentium naturæ divinitatem aliquam tribuit jam Taautus, quam ejus opinionem Phœnices postea atque Aegyptii comprobarunt. Enim vero hoc animalium genus præ cunctis reptilibus, vi et copia spiritus docet abundare, ejusque naturam igneam esse; propterea etiam inquit præ se fert celeritatem, omni exceptione majorem, cum neque pedum neque manum neque alterius cujusquam exterioris membri adminiculum habeat, cujusmodi sunt, quibus ad motum reliqua uti solent animalia. Præ-

βούλεται τάχος· καὶ πολυχρονιώτατον δέ ἐστιν οὐ μόνον τῷ ἐκδυόμενον τὸ γῆρας νεάζειν, ἀλλὰ καὶ αὔξησιν ἐπιδέχεσθαι μείζονα πέφυκε· καὶ ἐπειδὰν τὸ ὡρισμένον πληρώσῃ μέτρον, εἰς ἑαυτὸ ἀναλίσκεται, ὡς ἐν ταῖς ἱεραῖς ὁμοίως αὐτὸς ὁ Τάαυτος κατέταξε γραφαῖς.

Ὁ μὲν δὴ Μελίκαρθός, φησι, πρὸς τοὺς ἀμφὶ αὐτὸν κατελθὼν, τὴν μὲν, ἔφη, Λειαθάναν, ἑώρακα βασίλειαν καὶ τὰς αὐτῆς δούλας πόδας ἐχούσας δύο ἐχίδνα, τὸ δὲ εἶδος δεινοτάτας οὔσας· Μασισάβας δὲ ὁ ἐν Ταρτήσσῳ βασιλεύων τὴν Λειαθάναν εἰς ταύτην τὴν νῆσον ἐκβέβληκεν· ἀποφυγεῖν δ' ἐνθένδε οὐ δύναται· ἡμῖν δὲ, τῷ ἀνδρὶ μάχεσθαι προσέταξεν ὑπὲρ αὐτῆς.

XIII. Οἱ δὲ ταῦτ' ἀκούσαντες, σφόδρα ἐθαύμασαν καὶ ἀνασκευάζοντες ναῦν, ἀνάγονται· πολλὰς οὖν ἡμέρας πρὸς ἑσπέραν πλέοντες, διὰ πολλοῦ πύργον ἐν τῇ μεσογαίᾳ κείμενον ὁρῶσιν· ἤδη δὲ ἦσαν ἐν Ταρτήσσῳ· ὁ δὲ πύργος ἦν τοῦ Μασισάβου. Οὗτος δὲ ναῦν ἰδὼν καὶ τοὺς ἐν αὐτῇ ἄνδρας, ὡς αὐτοῖς μαχεσόμενος κατῆλθεν· ἦν δὲ τοῦ Μελικάρθου αὐτῇ τῇ κεφαλῇ μείζων, τὰ δ' ὅπλα μεγαλοπρεπὴς, τὸ δὲ σῶμα δυνατός τε καὶ εὔζωνος· ὁ δὲ Μελίκαρθος αὐτῷ ἀπαντήσας, τόξον μὲν λαβὼν τὸ παρὰ τῆς βασιλείας, ἐντείνει· καθ' ὑπερβολὴν δὲ τεινόμενον τό τόξον ῥήγνυται.

terea varias ac multiplices corporis formas ostendit, ac sinuosis intortum spiris, sese quam libuerit, incitato vibrat impetu. Diuturnæ admodum vitæ est, nec solum exuto senio juvenescit, verum etiam majora corporis simul ac virium accipit incrementa, donec tandem confecto certo quodam annorum curriculo in se ipsum iterum dissolvatur, quemadmodum in sacris etiam libris Taautus ipse scriptum reliquit.

Cum Melicarthus, ut jam supra demonstratum est, ad comites revertisset, Liathanam, eos allocutus est, vidi reginam, ejusque famulas, quarum pedes serpentis habent formam, vultus autem terribilem præbet aspectum. Jam vero Liathanam Masisabas, Tartessiorum rex in hanc insulam demovit, ex qua effugere non potest. Nos autem pro ipsa dimicare jussit cum viro illo.

XIII. Quod cum audiissent, valde mirabantur, navemque solvunt restitutam. Per multos navigantes dies in Occidentem, arcem conspiciunt loco mediterraneo sitam. Jam vero erant in Tartesso atque arx illa erat Masisabæ. Qui cum navem conspexisset virosque, descendit, ut cum iis dimicaret. Erat autem Melicartho capite major, armis præclarus, corpore valido atque veloci. Melicarthus ei obviam ivit, arcumque, quem a regina acceperat, tetendit, sed nimium tentus fractus est arcus.

Τότε μὲν ἀπορώτατα ἔχων Μελίκαρθος προσελθόντα ἠκόντισε Μασίσαβαν· διατρῶσαν δὲ ἐκεῖνον εἰσῆλθε τὸ ἀκόντιον εἰς δένδρον, ὥστε ἀπελθεῖν ἀδύνατον ἦν· προσιὼν δὲ αὐτοῦ κατέκοψε τὴν κεφαλήν. Μετὰ ταῦτα εἰς Μασισάβου πύργον εἰσελθόντες, πολλὰ εὗρον χρήματα, χρυσοῦ μὲν ψήματα ἐν δοχείοις, πολλὰ δὲ καὶ χρυσώματα καὶ χρυσοῦ βῶλον πέντε πόδων τὸ μέγεθος· τὴν δὲ ἀργύρου ἀφθονίαν χαλεπόν ἐστι διανοεῖσθαι· πάντα ταῦτα εἰς πλοῖον κατήνεγκον.

Οἱ δὲ περιοικοῦντες τὸν νικήσαντα Μασίσαβαν ὄψεσθαι κατῆλθον καὶ προσκυνήσειν· πολὺν δὲ καὶ οὗτοι προσήνεγκον ἄργυρον. Ἐκ τούτων οὖν, τὴν μὲν θάλατταν ταχέως ἀποπαύεσθαι ἐπύθοντο· οὐ γὰρ μακρὰν ἀπεῖναι πορθμὸν, δι' οὗ ναυστολοῦντες Ὠκεανὸν εἰσπλέουσι. Προσελάσαντες δὲ τάχα εἰς τὸν πορθμὸν παρεγένοντο· ἤδη δ' ἦν ὀψὲ τῆς ἡμέρας· διὰ τοῦτο τῇ ὑστεραίᾳ ἔδοξεν αὐτοῖς ἀποβῆναι. Οἱ δὲ τὸ χωρίον κατοικοῦντες, τὴν μὲν κεφαλὴν ἰδόντες ἐν τῇ πρώρᾳ ανακρεμασθεῖσαν τοῦ Μασισάβου, ὃν πάντες ἐνόμιζον ἀνίκητον, τὴν τοῦ Μελικάρθου ἐπαινοῦσιν ἀρετὴν καὶ ἀφοβίαν· ἡδέως δὲ αὐτὸν εἰσδέχονται ἀποβάντα. Οὕτως οὖν ὁ Μελίκαρθος ἀφίκετο εἰς τὰ ἔσχατα τῆς γῆς, πάντων τε Σιδονίων πρότερος καὶ Τυρίων.

Οἱ μὲν οὖν ἄνθρωποι τῶν ἀφικομένων ἐθαύμαζον πάντα, ἐξαιρέτως δὲ ναῦν καὶ στολὴν καὶ σκεύη, πλοῖα

Melicarthus his in angustiis Masisabum progredientem percussit hasta, quam tanta jaculatus est vi, ut, hoste transfixo, penetraret in arborem, Masisabamque hoc modo affigeret. Tum hosti amputavit caput. Quibus factis Masisabæ ingressi sunt arcem, ubi multas invenerunt divitias, pulverem aureum in vasculis servatum, vasaque aurea, massamque auri cujus altitudo quinque erat pedum. Quanta vero argenti fuerit copia, incredibile est auditu. Omnia hæc in navem deportarunt.

Convenere ex circumjacentibus regionibus, ut viderent eum, qui de Masisaba reportasset victoriam, atque ut ei sese subjicerent; multi et hi argentum secum apportarunt. Ex his, mare in hac vicinitate finem habere, audiverunt, et prope esse fretum, per quod navigarent in Oceanum. Solverunt igitur ac mox erant in freto. Sed cum serum jam erat diei, accessum ad terram in diem crastinum distulere. Hujus autem regionis incolæ, ut videbant caput in prora suspensum Masisabæ, quem omnes vinci non posse crediderant, Melicarthi et virtutem laudarunt et animum impavidum, libenterque eum receperunt. Hoc modo Melicarthus in ultimas orbis terrarum profectus est regiones omnium Sidoniorum et Tyriorum princeps.

Jam vero homines advenarum omnia admirati sunt, et navem et vestes et instrumenta, ut quibus

μὲν ἔχοντες, οὐ δὲ τοσαῦτα· πάλιν δὲ περιεσταλμένοι, οὐ δ' ἐσθῆτι, ἀλλὰ θηρίου δέρματι. Βίος μὲν γὰρ ἦν αὐτοῖς ἀπὸ τοῦ θηρᾶν καὶ ἁλιεύειν· ὑφαντικῆς δὲ καὶ ἄλλων τεχνῶν ἀπείρως εἶχον· τὰ δὲ σκεύη ἦν αὐτοῖς κατὰ φύσιν καὶ ἄτεχνα.

XIV. Μελίκαρθον μὲν οὖν, τοιαῦτα διαπράξαντα, κατήσθοντο θεὸν γενόμενον, τοὺς δὲ σὺν αὐτῷ θεοὺς μὲν καὶ αὐτούς, πλὴν ἀλλὰ ἥττονας. Ἦν καὶ δύο ἐν τῷ πορθμῷ ὄρη· ἐν δὲ ἑκατέρῳ ἀνέστησε στήλην, ἃς καὶ νῦν ἐστὶν ἰδεῖν, τοὔνομα ἀπὸ Μελικάρθου ἐχούσας. Οἱ δὲ ἐπιχώριοι ἀκρόπολιν αὐτῷ ἔκτισαν καὶ πύλιν καὶ ἐν αὐτῇ ἱερόν· ἀλλὰ δὲ καὶ πολλὰ ἐποίουν ἱερὰ Μελικάρθου θεοῦ πανταχοῦ τῆς χώρας, τὸ δ' ἐν τῇ πόλει μέγιστον· τὰ δὲ εἴδωλα ἦν ἀργύρου καθαροῦ πεποιημένα, τούτῳ τῷ χρόνῳ ἀφθονίας ἀργύρου ἐν Ταρτησσῷ γενομένης, ὥστε καὶ τὰ ἐν ποσὶ σκεύη ἦν ἀργύρεια. Μόνος δὲ ἐπὶ τὴν θήραν ποτὲ ἐξεληλυθὼς, οὐκέτι ἑωρᾶτο Μελίκαρθος ὑπ' οὐδενὸς, οὐδ' ἐφάνη οὐπώποτε αὐτοῦ τάφος. Τότε μὲν οὖν τοῖς σὺν αὐτῷ ἀναπέμπειν ἐδόκει κηρύξοντας εἰς τὴν πατρίδα τὰ γενόμενα· ᾑρέθησαν δ' εἰς τοῦτο οἱ ἄγαμοι· οἱ γὰρ ἄλλοι ἐκ τῶν αὐτοχθόνων γεγαμήκασι γυναῖκας.

Κινδυνεύσαντες οὖν ἐκεῖνοι κινδύνους πολλοὺς, τὸ τελευταῖον εἰς πατρίδα ἐπανῆλθον. Τοῦ δ' Ἰσρώα ἤδη ἀποτεθνεῶτος, ἐν ᾧ τόπῳ εἰσέβη ναῦν ὁ Μελίκαρθος, ἀνέστησαν αὐτοῦ ἱερὸν καὶ νῦν ὑπάρχον ἐν τῇ παλαιᾷ τῶν Τυρίων πόλει· ἡ δὲ πόλις ὕστερον ἐκτίσθη.

naves quidem essent, sed non tantæ magnitudinis; ac tegimenta, at non texta, sed pelles ferarum. Feris enim alebantur ac piscibus; textum autem aliasque haud noverunt artes, eorumque instrumenta erant simplicia artisque expertia.

XIV. Melicarthum autem, qui tanta peregerat facinora, Deum esse videbant, itemque ejus socios, sed minores. Freto autem adjacent duo promontoria et Melicarthus in utroque erexit columnam, quæ etiam nostris temporibus conspiciuntur, nominatæ a Melicartho. Qui autem eam incolebant regionem arcem ei ædificaverunt urbemque templo prædítam, omnemque exornarunt regionem sacris in honorem Melicarthi Dei; sed celeberrima sacra in urbe erant. Signa autem ex solido fabricata erant argento, cujus tunc temporis tanta in Tartesso erat copia, ut et vilissima vasa essent argentea. Cum autem Melicarthus aliquando venatum exivisset, non rediit, neque eum, neque ejus sepulchrum quisquam conspexit. Jam vero ejus comites, nonnullos in patriam mittendos esse qui res nunciarent gestas, decreverunt, atque ad hanc rem cælibes elegerunt, cum complures filias indigenarum in matrimonium duxissent.

Varia post discrimina in patriam tandem reverterunt, atque Isroa jam mortuo, in eo loco, ubi Melicarthus ascenderat in navem, templum in ejus honorem ædificarunt, quod etiam nunc superstes in Tyriorum palæopoli; urbs autem posteris tempori-

Τὸν δὲ Θεὸν ἐποίησαν ἀργυρεῖον, σχῆμα δὲ μείζω ἢ κατ' ἄνθρωπον.

XV. Οὗτος οὖν ἐκπρεπέστατος νομίζεται θεὸς παρὰ τοῖς Τυρίοις, ὁ δὲ Κρόνος ἐν Σιδῶνι, παρ' ἡμῖν δὲ Βααλτίς. Μελικάρθου δ' ἱερὰ ποιεῖται περιϊόντος τοῦ Ἀρχασαώρου μηνὸς, νουμηνίᾳ Ἀρχασαφήνου· τούτῳ γὰρ χρόνῳ παρεληλυθότων τῶν χειμώνων, τὰ πλοῖα ἀνάγεται· πάντες οὖν ἐνοικοῦντες κεκαλλωπισμένοι καὶ μεγαλοπρεπεῖς εἰς τὰ προπύλαια ἀγείρονται τῇ πρὸ τῆς ἑορτῆς ἤδη ἑσπέρᾳ· τῶν δ' ἱερέων προσέρχονταί τινες, τὰ τοῦ Μελικάρθου ὑμνοῦντες· χορεύουσι δὲ καὶ ἀμοιβαῖοι, καὶ ταῦτα ὅλην τὴν νύκτα διατελοῦσι ποιοῦντες· πρὸς δ' ἕω, ἀνακαλυφθέντος τοῦ καταβλήματος, ἅμα τῷ ἡλίῳ ἀνίσχοντι ὁ θεὸς θαυμαστὴν ἀπαυγάζει αὐγήν· ἀκριβῶς γὰρ ἀποβλέπων τυγχάνει πρὸς ἡλίου ἀνατολάς. Παραχρῆμα οὖν θυσίας ποιησάμενοι προσέρχονται οἱ ταύτῃ τῇ ἡμέρᾳ ἐκπλευσούμενοι εἰς Ταρτησσὸν, καὶ προσκυνήσαντες δεήσεις ποιοῦνται περὶ εὐπλοίας· ἄλλοι δὲ καὶ πολλοὶ ἀναθήματα τῷ θεῷ ἀνατιθέασι πολλά. Μετὰ δὲ τὰς θυσίας, τῶν ἱερέων καθηγουμένων, ἡ πανήγυρις ἐξέρχεται, ὑμνοῦντες τὸν θεὸν τὸν θαλαττοκράτορα· τοὺς δ' ἀναξομένους εἰς λιμένα συμπροπέμπουσι. Ταύτῃ οὖν τῇ ἡμέρᾳ παίζουσι καὶ χαίρουσι καὶ οὐ παύονται ἀγαλλόμενοι, πρὶν ἢ πάντα τὰ πλοῖα ἀπεληλακέναι.

Τὰ οὖν πρὸς ταύτην τὴν ἑορτὴν αὐτὸς ἑώρακα πάντα, ὅτε παῖς ἔτι ὢν διατριβὴν ἔτυχον ἐν τῇ τῶν Τυρίων ποιησάμενος παλαιᾷ πόλει, Κιδμῶνι παρεπό-

bus condita est. Jam vero Deum fecere argenteum, mortalique ampliorem specie.

XV. Hunc autem maximum Tyrii habent Deum, Saturnum autem Sidonii, et nos Baaltidem. Sacra Melicarthi celebrantur Hyrchasaoro præterlapso, novissima Hyrchasapheni luna. Hoc enim tempore, ubi desiere procellæ, naves in altum dant vela. Omnes incolæ splendidissimas sibi vestes parant et conveniunt in propylæum vespere proximo ante festum. Sacerdotum nonnulli progrediuntur atque Melicarthi facinora omnia celebrant carminibus, saltantque in orbem, atque his negotiis noctem transigunt. Mane autem, velis reductis, quando sol oritur, Deus mirandum edit fulgorem. Spectat enim in ipsum solem orientem. Tum vero ii progrediuntur, qui Tartessum navigaturi sunt, ut sacra faciant ac preces de felici navigatione; sunt etiam, qui apportent Deo dona magnifica. Sacrificiis factis, concio, ducibus sacerdotibus exit, Deum carminibus celebrantes, maris regem, eosque, qui navigationem instituunt, ad portum comitantur. Hoc die ludunt, et lætantur neque jocis abstinent, donec omnes naves portum reliquere.

Quæ ad hanc pompam pertinent, omnia ipse spectavi, quum adolescentulus forte in palæopoli Tyriorum degerem, Cidmona Nebitæum comitatus,

μενος τῷ Νεβιταίῳ, μητρὸς πατρὶ, ὃν ἀπέστειλαν οἱ Τύριοι τὰς τριήρεις ἔχοντα εἰς τὰς νήσους καὶ Ταρτησσὸν, τὴν βοηθικὴν μεταπεμψόμενον δύναμιν. Ὁ δὲ λέγων τὰ περὶ τὸν Μελίκαρθον ἱερεὺς ἦν Ἰέρβας. Ἐκπολιορκούμενοι δὲ τὴν αὐτὴν ἔχουσιν ἑορτὴν καὶ ἱερὰ ἐν τῇ νήσῳ.

Γ'.

I. Τὰ μὲν οὖν περὶ τὴν κοσμογονίαν καὶ τοὺς θεοὺς ἐν τοῖς πρόσθεν γέγραπται λόγοις. Λέγει δὲ Σαγχουνιάθων, Λεοντοῦργον καὶ Ἀμύριον ἀδελφοὺς γενομένους, τῶν Καβείρων παῖδας· ὁ δ' Ἀμύριος ἰδὼν παραπορεύομενον, ἱμάτια περιβεβλημένον πολυτελῆ, τὸ ξίφος ἐν τῇ δεξιᾷ ἔχων, προσέδραμε καὶ, ὦ φίλε ἄνερ, ἔφη, δίδου μοι θαιμάτια· οὗτος οὖν ἔδωκεν. Ὁ δὲ Λεοντοῦργος τῷ ἀδελφῷ φθονήσας τῆς ἐσθῆτος ποικιλόχρωτος αὐτοῦ ἐπεβούλευε βίῳ. Φυγὼν δ' ᾠκοδόμησεν Ἀμόριος πύργον ἐν λόφῳ τινὶ, ὡς ἀσφαλῶς ἐνταῦθα οἰκήσειν. Ὀλίγου δὲ χρόνου παρεληλυθότος, ἄλλοι τινὲς ὑπὸ τῶν Μοαλλίκων φυγόντες παρεγένοντο καὶ κατῴκουν ἐν τῇ χώρᾳ· ταύτῃ οὖν ἐγένετο ἡ Βεθμιχυίας κτίσις. Ἀμορίου δὲ παῖς Χίττιος Ἄραδον ᾠκοδόμησε πόλιν. Ὁ δ' Ἀμόριος τὸ πρῶτον μὲν παρὰ Σιδίμῳ ᾤκει παιδὶ, πόλιν κτίσαντι Σιδουμίαν. Ταύτης δὲ τῆς πόλεως ἀναστάτου γενομένης, ὁ Ἀμόριος πρὸς

matris patrem, quem Tyrii cum classe in insulas ac Tartessum miserant, ut auxiliares copias adduceret. Hierbas sacerdos is erat, qui facinora et res gestas Melicarthi enumeravit. Urbe autem expugnata, Tyrii in insulam fugere, pompamque ibi eandem celebrant, atque eadem sacra.

LIBER TERTIUS.

I. Jam vero quæ ad mundi creationem pertinent et res gestæ Deorum in primo et secundo libro enarratæ sunt. Narrat autem Sanchuniathon, Leonturgum et Amorium fratres fuisse Cabirorum filios. Amorius autem prætereuntem vidit splendidis usum vestibus et dextra manu gladium stringens, ad eum accurrit vestemque ab eo postulavit. Quam cum ille dedisset, Leonturgus vestitum hunc versicolorem fratri invidit, ejusque vitæ insidiatus est. At Amorius effugit atque arcem ædificavit loco quodam, ubi ab insidiis fratris tutus erat. Paullo post nonnulli hanc ipsam regionem profugi incoluere, a Moallicis expulsi. Hoc modo conditum est oppidum Bethmychia. Amorii filius Aradum condidit urbem. Amorius autem primo degebat apud Sidimum filium, Sidumiæ urbis conditorem. Quæ urbs cum devastaretur, Amorius ad Chittium profugit. Omnes igi-

Χίττιον ἔφυγε· τοιγάρτοι πάντες οἱ μετ' αὐτὸν Βεθμιχνίας καὶ Ἀράδου βασιλεύοντες τοῦ Ἀμορίου ἦσαν πρόγονοι.

II. Διδούσης δὲ Βααλτίδος, Λεοντοῦργος τὴν Βύβλου παρέλαβεν ἀρχήν· βασιλεύοντος δὲ τούτου, οἱ Μοάλλικοι ἐξελθόντες ἀνάστατον ἐποίησαν τὴν πόλιν. Λυπούμενος οὖν τῇ πόλεως ἀτυχίᾳ, νόσῳ περιέπεσεν ὁ Λεοντοῦργος καὶ ἀπέθανεν. Ἐτάφη δ' ἐν τῷ τῶν βασιλευόντων τάφῳ· τούτου δὲ μετ' οὐ πολὺν χρόνον ἐρειψίμου γενομένου, τὸ μὲν ἱμάτιον αὐτοῦ καὶ τὸ ξίφος εὑρέθη, τὸ δὲ σῶμα ἠφάνισεν, ὥστε δῆλος ἦν ὑπὸ τῶν θεῶν ἀφαιρεθεὶς διὰ τὴν ἁγνότητα· τριακοσίους γὰρ ἔδωκε δούλους τῷ τῆς Βααλτίδος ἱερῷ. Τραχεῖα δ' αὐτῷ δίαιτα· μέγα δὲ τόδε τεκμήριον· αὐτὸς γὰρ νυκτὸς διῆλθε τοὺς φύλακας, καὶ μεγίστου ὄντος χειμῶνος, εἴ ποτέ τινας μεθύοντας εὕροι, ἀπέκτεινε. Τριάκοντα ἐτῶν γεγονὼς, ἑνὸς δέοντος, βασιλείαν παρέλαβεν, ἔτη δὲ ἐβασίλευε πεντήκοντα.

III. Διεδέξατο δ' αὐτὸν Ῥίναρος, ἓξ μῆνας βασιλεύων, ὃν οὐκ οἶδα, οὐδὲ ποδαπὸν, οὐδὲ ποῖον. Περὶ γὰρ αὐτοῦ πλὴν ἀλλ' ἢ τὸ ὄνομα, οὐδὲν ἔγνωκα. Ἀποθανόντος δ' αὐτοῦ, πόλιν εἰσβαλόντες οἱ Γίγαντες, τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ συνέλαβον. Τότε μὲν οὖν πυρὸς ἐξ οὐρανοῦ καταπεσόντος, τῶν εἰσβαλόντων πολλοὶ μὲν ἀπέθανον, πολλοὶ δ' ἐκ τῆς πόλεως κατέφυγον πρὸς τὴν θάλατταν· οἱ δὲ πυρὶ καὶ κύμασι περιγενόμενοι ὑπὸ τῶν Βυβλίων ἐν τῷ αἰγιαλῷ

tur, penes quos postea imperium erat Bethmychiæ atque Aradi, originem habuere ab Amorio.

II. Baaltis autem Leonturgo Bybliorum dedit regnum, quo regnante Moallici in urbem irrupere, eamque vastarunt. Qua de urbis calamitate tanto in mœrore erat Leonturgus, ut morbo correptus mox obiret. Mortuum in regum sepelivere sepulcro. Cum hoc non multo post ruinosum esset, ejus vestimentum et gladius superstes erat, sed corpus nusquam repertum est, ut eum a Diis esse propter integritatem ablatum, manifestum esset. Templo enim Baaltidis trecentos dedit servos. Duris utebatur moribus, cujus est indicium, quod noctu vigilias ipse inspiceret, et, ubi forte offenderet inebriatum, occideret. Undetriginta annos natus suscepit imperium et regnabat per annos quinquaginta.

III. Hujus in locum substitutus est Rhinarus, quem, unde natum fuerit, aut qualem fuisse, nescio. Neque enim quidquam de eo reperi, nisi nomen. Quo rege mortuo, Gigantes urbem expugnarunt, atque incolas aut trucidarunt, aut captivos secum duxerunt. Igne autem cœlesti hostium multitudo consumta est, atque alii ad mare confugerunt. Qui autem flammas effugerant atque undas, a Bybliis in litore trucidati sunt. Neque enim illis temporibus

κατεσφάγησαν· οὐ γὰρ ἦσαν παρὰ τῷ λιμένι κατὰ τοῦτον τὸν χρόνον οἶκοι, ἀλλ' ἦν τόπος μεταξὺ τῆς πόλεως καὶ τῆς θαλάττης ἔρημος.

IV. Εἵλοντο οὖν βασιλέα Ἀγοραῖον τὸν Λεοντούργου· τοῦτον δὲ Βααλτίδος εἰσελθόντα ἱερὸν παραλιπὼν ὁ ἱερεὺς τὸν Συδὺκ ἐμύρωσε, Τύριον τὴν πατρίδα. Συδὺκ οὖν ἀντὶ ἐκείνου βασιλεύων ἀνὴρ δίκαιος ἦν καὶ ἀγαθὸς, τὴν δὲ μορφὴν μικρὸς καὶ δυσειδής. Τούτου οὖν βασιλεύοντος οἱ μὲν Γίγαντες οὐ κατέβησαν. Οἱ δὲ Κέρατοι, ἀπὸ τῶν νήσων ἄνδρες, πολλὰ ἔχοντες πλοῖα περιπλέοντες καὶ ἀποβαίνοντες παρεγένοντο ἄγοντες πάντα καὶ φέροντες. Ταῦτ' ἀκούων ὁ βασιλεὺς ἐπὶ Σιδῶνα ἔπεμψε καὶ Τύρον καὶ Βηρυτὸν συμμαχίας δεησομένους· οἱ μὲν οὖν Σιδονίων καὶ Βηρυτίων βασιλεῖς τετρακισχιλίους ἔχοντες ἄνδρας ἐβοήθησαν· οἱ δὲ Τύριοι οὐ παρῆσαν· ἀποθανόντος γὰρ τοῦ βασιλέως, στάσις ἦν τῶν πολιτῶν. Συδὺκ δὲ καταλαβὼν ἀποβεβηκότας τοὺς πολεμίους, τοὺς μὲν ἀπέσφαξε, τοὺς δ' εἰς φυγὴν ἔτρεψε. Συνέλαβε δὲ καὶ Γῶρον καὶ Γῶλον τοὺς τῶν πολεμίων στρατηγοὺς, οὓς ἐλύτρωσε τῇ ὑστεραίᾳ, πολὺν χρυσὸν λαβὼν καὶ ἑκατὸν δούλους λύτρον, οὓς καὶ τοῖς συμμάχοις μετέδωκεν. Τιμοὶ δ' ἦσαν ἐν πάσαις πόλεσι καὶ ὁλολυγμοί. Μακαρίζετε τὴν δικαιοσύνην τοῦ Συδὺκ καὶ τοῦ βασιλέως ἀρετὴν εὐδαιμονίζετε. Ἑκατὸν μὲν ἐκβάλλει ὁ ἀετιδεὺς τῶν Βηρυτίων, τετρακοσίους δὲ Σιδὼν ὁ λεοντιδεύς. Συδὺκ δὲ Γῶρον καθεῖλε καὶ Γῶλον, βασιλέε βασιλεὺς ἔλαβε· τοῦ δὲ λαφύρου τοῖς Ἀραδίοις

ædificia reperiebantur ad portum, sed locus inter urbem atque mare erat vacuus.

IV. Tum Agaræum Leonturgi filium crearunt regem. Cum hic Baaltidis intraret templum, sacerdos eum præteriit ac Sydycum quendam unctione regem inauguravit. Sydycus, qui hoc modo Agoræi loco rex creatus erat, justus et fortis erat vir, corpore vero brevi ac deformi. Hoc regnante, Gigantes non descendere. At Cerati, ex insulis oriundi magna cum classe advenere prædamque egere maximam. Quod cum regi esset nunciatum, auxilia petit a Sidoniis, Tyriis et Berytiis. Sidoniorum quidem et Berytiorum reges adfuere cum quattuor millibus armatorum. Tyrii autem auxilium ferre non poterant, quia post mortem regis in urbe ipsorum tumultus erant. Sydycus hostes jam in terram egressos reperit et magnam eorum partem interfecit, reliquosque fugavit. Inter captivos etiam Gorus et Golus erant hostium duces, quibus postridie libertatem reddidit, accipitque ab iis multum aurum et centum servos, redemptionis pretium, cujus Sydycus et socios fecit participes. In omnibus autem oppidis hoc prœlium carminibus celebratum est clamoribusque lætissimis. Felicem prædicate Sydycum regisque virtutem celebrate. Centum quidem juvenis Berytiorum aquila fugat, et quadringentos Sidon, leo. Sydycus vero Gorum cepit et

μεταδίδωσι, τοῦ δὲ χρυσοῦ τοῖς Σιδονίοις. Μακαρίζετε τὴν τοῦ βασιλέως ἀρετὴν, τὴν δὲ τοῦ Συδὺκ εὐδαιμονίζετε δικαιοσύνην.

V. Ἐμβάντες οὖν οἱ Κέρατοι εἰς τὰ πρὸς μεσημβρίαν τετραμμένα τῆς χώρας ἀπῆλθον· οἱ δὲ Γίγαντες Ἀσκαλωνῖται τοῖς πλησιοχωρίοις ἔτυχον πολεμοῦντες Ὀνακύνοις· δυστυχῶς δ' ἔχοντες τοὺς Κεράτους ἀσμένως ἐδέξαντο. Τούτων δ' ἐπαρκούντων τοὺς πολεμίους νικήσαντες πᾶσαν τὴν τῶν Ὀνακύνων χώραν ἐποιήσαντο ὑφ' ἑαυτοῖς. Χάριν οὖν ἔχοντες ὑπὲρ τῆς ξυμμαχίας τοῖς Κεράτοις Γάζαν πόλιν παρέδωκαν τὴν τῶν πολεμίων. Οἱ δὲ Κέρατοι τὴν πόλιν περιτειχίσαντες τὸ μὲν πρῶτον ἐν εἰρήνῃ διήγαγον· ἔπειτα, πολλὴν ἔχοντες δύναμιν, ὀλέθριον πόλεμον πρὸς τοὺς Ἀσκαλωνίτας ἐπολέμουν καὶ ἐξέβαλον ἐκείνους τῆς πατρίδος. Οὗτοι δ' ἐκπεπτωκότες ἔφυγον καὶ ᾤκουν ἐν τῇ ὀρεινῇ. Οἱ δὲ Κέρατοι πᾶσαν τὴν μέχρι τῶν τῆς Αἰγύπτου περάτων χώραν καταστρεψάμενοι διεγένοντο, τὴν δ' ὀρεινὴν οὐχ εἷλον.

VI. Ὁ δὲ Συδὺκ τριάκοντα ἐβασίλευεν ἔτη· τούτου δ' ἀποθανόντος βασιλεὺς ἦν Γαρούσαος, ὁ τοῦ Συδὺκ πρωτόγονος, δικαιοσύνην μὲν προσποιούμενος, ἀδικῶν δέ. Βεθύβαλον γὰρ τῆς πατρίδος ἐξέβαλε, τὴν τοῦ ἀνδρὸς μισῶν χρηστότητα. Ἐν τῷ δ' αὐτῷ ἐκλήθη ὁ περὶ τὸν Κρόνον εὐσεβής· ἡ δ' αὐτοῦ ὑπερηφανεία τῆς ταπεινοφροσύνης ἦν μείζων. Ἐπ' αὐτοῦ δὲ βασιλεύοντος πολλὰ μὲν ἔτη τροφῆς οὐδ' ἐλάχιστον προσ-

Golum, rex duos reges captivos secum duxit. Prædæ autem participes fecit Aradios, aurique Sidonios. Felicem prædicate regis virtutem et Sydyci celebrate justitiam.

V. Cerati cum classe profecti sunt in regiones australes. Eodem tempore Ascalonitæ Gigantes bellum forte gerebant cum finitimis Onacynis et victi ab hostibus Ceratos libenter receperunt. Quibus auxiliantibus hostes vicere omnemque Onacynorum regionem sibi subjecerunt. Gratiam igitur referentes de auxilio Ceratis dedere Gazam oppidum, quod hosti eripuerant. Cerati autem oppidum hoc muniverunt et primo in pace degebant. Postea magnam nacti potestatem, gravissimum cum Ascolonitis gerebant bellum, eosque patria ejecerunt. Hi autem in montes confugerunt, regionesque incoluere montanas. Cerati vero omnem regionem usque ad confinia Aegypti sui ditionis fecere, montanas autem regiones vincere non poterant.

VI. Sydycus triginta annos regnabat. Eo mortuo Garusaus, Sydyci primogenitus rex creatus est, qui justitiam simulans magnas fecit injurias. Bethobalum enim civitate expulit, quum viri probitati invideret. Attamen eodem tempore Saturni assectator nominabatur. Ejus autem superbia modestia major erat. Garusao regnante per multos annos ne minimam cibi particulam sacerdos Saturni quidam

φιλόσοφος μόνος, Κύριος ἀφεὶς ἕνα ἄχρι τε τῆ τάξει, Ὃν Ἰδ Ἐφόρους ἐκ βασιλέων ἀποκαλοῦσι δικαίως. Μετ' αὐτὸν δὲ αὖθις ὁ βασιλεὺς κοσμήτωρ· εἶτ' ἐκ τῆς τάξης, εἰκοστὸς βασιλεὺς ἄρχων, ὃν ἐξάγειν τὴν φάλαγγα, καὶ τὸ Κράτιστον ἀφηγεῖσθαι δίκαιον· τὸν δὲ τρίτον ἀπὸ τούτου βασιλέα, Ὑπολοχαγὸν, ἐκπολεμεῖν ἐκὰ τὸν ἄξιον. Ἑπόμενον μὲν γὰρ ἐν τοῖς πόνοις γενήσεται, οὐ μὴν τοῦ βασιλεῖ συγκοινωνεῖ, οὐδὲ ἡ Ὑπολόχου οὐκοσία ἄρχουσα, ἀλλὰ ἑξαιρέτως· εἰ δὲ οὕτως μετὰ τοῦ βασιλέως μοιρεῖται, ὁ Ὑπολοχαγὸς τοῦ τοῦ Κράτους κοινωνήσει. Δευτερεύοντος δὲ τῷ σχεδὸν τῆς τάξεως καὶ τοῦ τοῦ Κράτους κόσμου ἐκπολεμοῦντος ἀεὶ, ἐπὶ τὸν βασιλέως, ὃν μὲν οὐδὲ τὸν τοῦ Κράτους, ὃν δὲ τοῦ τοῦ βασιλέως ἔχοντος, τοῦδε, καὶ ἀποδεικτέον εἶναι τὸν δεύτερον. Νοκεῖς δὲ καὶ πολεμεῖν ἐκ τοῦ κοσμήτορος, καὶ τὸν ἀποτεταγμένον, ἐπὶ τὸν ἀποδεδειγμένον. Ὁ δὲ τοῦ τοῦδε βασιλέως ἐκπολεμεῖ ἐπὶ τὸν τάγματα ἀπὸ τάγματος ἀπὸ πολεμίων.

VII. Δεῖ δὲ καὶ τὸν εἶναι τοῦτο ἐκὰ αὖθις τῆ τοῦ τοῦδε βασιλέως δικαιοῦ. Ποιεῖ γοῦν ἐκπολεμεῖν βασιλέως, ἀκολουθεῖν· τοῦτον μὲν ἐκ τοῦδε, μετὰ τοῦδε, ἐκ μέσης ἀκολουθεῖν· ἐκ μὲν οὖν τοῦ τοῦδε βασιλέως δὲ τοῦ τοῦδε τοῦ τοῦδε ἐκ τοῦδε βασιλέως, ἐκ δὲ τοῦδε μέσης βασιλέως ἀκολουθεῖν τοῦδε τοῦδε ἐκ τοῦδε

edit, neque tamen mortuus est. Garusaus autem obiit post regnum duodeviginti annorum. Quo mortuo per longum tempus interregnum erat. Insulani autem naves appulerunt omnemque devastarunt regionem, quia Cerati Obadilum, penes quem antea insularum imperium fuerat, sed quem propter superbiam insulis expulerant, apud se recepissent. Nam bello in insulis orto, alii stabant a regis partibus, alii Obadilum crearunt regem, virum superbum. Quum autem rex victor evasisset, Obadilus ad Ceratos confugit. Gazam diripientes Ceratorumque oppida aggredi conati sunt etiam Byblios, qui magna dona hostibus, si abirent, polliciti sunt, at fidem non persolvere. Noctu autem hostem oppressere, aliosque trucidarunt, alios comprehenderunt. Qui vero ad naves relicti erant, citissime solvere.

VII. Per viginti quinque annos Byblii non erat rex. Tum Bethobalus rediit, regnumque suscepit. Cum hic puer admodum esset, mater mortua est. Puer igitur temerarius et levis patrem maximo affecit dolore, paterque frustra eum ad obedientiam reducere conatus est. Matrem autem cum videret somnio ipsi succensentem mutatus est. Quo regnante Obadilus in urbem prodiit, imploravitque Bethobali auxilium. Hic etiam se fore ei in auxilio promisit.

Ἦν μὲν γὰρ ἀνὴρ ὑβριστικὸς ὁ Ὀβαδῖλος, ἀλλ' εὐσεβὴς περὶ τὸν Κρόνον. Στρατείαν οὖν ποιούμενος ἐπὶ τοὺς νησιώτας ἐνίκησε μὲν Βεθόβαλος, Ὀβαδῖλον δὲ ἐπὶ βασιλείαν κατήγαγεν. Οὗτος δὲ βωμοὺς ἐποίησε Κρόνῳ ἐν ταῖς νήσοις πολλοὺς καὶ μεγάλους.

VIII. Βεθόβαλος δὲ τὸ ἐν τῇ πόλει ξενοδοχεῖον πρῶτος ᾠκοδόμησεν, ἐπηύξησε δὲ Μελίχωρος, τὸν Βεθόβαλον διαδεξάμενος. Ἐν τούτοις τοῖς χρόνοις δύο ἀδελφὼ, τῷ Ὀρβίῳ ὄρει τεῖχος περιβαλόντες, τὴν ἐκεῖ χώραν κατῴκισαν. Οἱ δὲ πάροικοι, ὧ τῆς τοῦ Βάρκα θαυμαστῆς πόλεως, ἀναφωνήσαντες, εἰς τὴν τοῦ Βάρκα πόλιν ἔσκωψαν. Διὰ ταῦτα ἡ πόλις καλεῖται Βεθατάβα.

IX. Ὀβαδίλου ἀποτελευτήσαντος Ἰριξ ὁ Ὀβαδίλου ἦν βασιλεύς. Βεθόβαλος δὲ Ἰρικα καταβαλόντα μαθὼν, οὓς ἐποίησεν Ὀβαδίλος τῷ Κρόνῳ βωμοὺς, λόγους ἔπεμψε ποιησόμενους περὶ τῆς τῶν βωμῶν ἀποκαταστάσεως. Ἰριξ δ' οὐ μόνον τοὺς παλαιοὺς ἀποκατέστησεν, ἀλλὰ καὶ ἐπέβαλε πολλοὺς καὶ μεγάλους. Ταῦτα ἐν τοῖς περὶ τὸν Βεθόβαλον γέγραπται.

X. Βασιλεύοντος δὲ τῶν Βυβλίων τοῦ Βεθοβάλου, πολλὰ ἔχων ὁ Μαθαίβαλος βοσκήματα, τὸ πρῶτον μὲν οὐδὲν κακὸν πάσχων ὑπ' οὐδενὸς, παρὰ τῷ Συρίας ποταμῷ ἐβουκόλει. Μετὰ ταῦτα παρελθόντες ἐκ τῆς Συρίας ἄνδρες ποιμένες αὐτῷ συνῆλθον εἰς ἀντιλογίαν διὰ τὰς νομάς. Τούτοις οὖν ἐλάσασιν εἰς χωρία αὐτοῖς μὴ ὑπάρχοντα Μαθαίβαλος νυκτὸς ἐμπίπτει τοὺς ἀμφὶ αὐτὸν ἀθροίζων καὶ πάντας καταλαβὼν,

Obadilus enim superbo quidem erat animo, sed Urani cultor. Bellum igitur cum insulanis gessit Bethobalus victorque in regnum restituit Obadilum, qui multas eximiæ magnitudinis in insulis aras exstruxit.

VIII. Bethobalus hospitium in urbe primus condidit, ac Melichorus, qui ei successit domum hanc amplificavit. Illis temporibus duo fratres Orbium munivere montem, atque hanc incoluere regionem. Vicini autem eos ludibrio habebant de oppido condito et dicebant, o admirabile Barcæ oppidum. Qua de caussa etiam nunc urbs dicitur hæc Bethataba.

IX. Mortuo Obadilo, Irix erat rex, Obadili filius. Bethobalus autem, cum audivisset, Iricem aras, quas Obadilus Saturno exstruxerat, disjecisse, legatos ei misit de aris restituendis. Irix autem non solum eas, quæ jam antea exstitere, restituit, sed multas etiam magnasque adjecit. Omnia hæc in commentariis de rebus gestis Bethobali leguntur.

X. Quo tempore Bybliorum imperium penes Bethobalum erat, Mathæbalus multis cum armentis prope Syriæ fluvium habitabat, a nemine oppressus. Sed paullo post pastores ex Syria profecti cum eo de locis pascuis litigavere. Sed cum pastum agerent pecus in prata, quæ ipsorum non erant, Mathæbalus suos convocavit noctuque eos aggressus omnes reprehendit, atque eos coëgit, ut Amathiam ipsi urbem

πόλιν αὐτῷ Ἀμαθίαν οἰκοδομῆσαι καὶ ἀκρόπολιν ἐβιάσατο, ἀφ' ἧς καὶ τὸ ὄνομα τῇ πόλει. (Ἀμαθίαν γὰρ λέγουσιν οἱ Σύροι ἀκρόπολιν). Μαθαίβαλος οὖν πολλὴν τὴν δύναμιν ἔχων κρείττων ἐγένετο καὶ τῶν ἄλλων ποιμένων καὶ φόρον αὐτοῖς ἐπέταξε κατ' ἔκαστον ἔτος ἑκατὸν μώσχους καὶ τετρακόσια πρόβατα. Οὕτως οὖν ὁ Μαθαίβαλος πρῶτος ἐγένετο τῶν Σύρων βασιλεύς. Ἀποθανόντος δ' αὐτοῦ παρέλαβε τὴν ἀρχὴν Βαλμαχάνης, ὁ τοῦ Μαθαιβάλου στρατηγὸς, τοῖς ἐν τῷ ὄρει πολεμήσας Γίγασι. Τότε δὲ νενικηκὼς σὺν τῇ στρατιᾷ εἰς τὴν πόλιν ἔτυχεν ἐπανερχόμενος. Τοῦτον δ' ὠμὸν γενόμενον καὶ πολλοὺς τῶν ἐν τῇ πόλει φονεύοντα ὁ Ἀμμῖσος, ἀνὴρ ποιμὴν, βοηθησάντων τῶν πολιτῶν, τῆς ἀρχῆς κατέλυσε καὶ ἐξέβαλε τῆς πόλεως. Ὁ δὲ ἀποφυγὼν καὶ πολὺν χρόνον περιπλανώμενος, ταῦτ' ἔλεξεν. Ὁ μὲν Ἀμμῖσος ἐξέβαλέ με τῆς πόλεως, οἱ δ' ὑπήκοοι ὕβρισάν με· ἀλλ' ἱμάσω τοὺς ὑπηκόους, τὸν δ' Ἀμμῖσον φονεύσω. Πρότερον ἐκείμην ἐν πορφυρίσι τῶν Τυρίων, τὸ δ' ὑπόστρωμα ἦν σηρικὸν Βαβυλώνιον· νῦν δὲ ἡ πέτρα ἐστί μοι οἶκος, τὸ δ' ὑπόστρωμα ἡ ἐρημία. Μὴ νομίζετε, περίφοβόν με εἶναι, εἰ κνέφας τὸ ἄλσος εἰσέρχεται, πολὺς δ' ὁ χειμὼν τὰ δένδρα περιέρχεται, ὡς θηρίου βρύχημα· ἢ ταράττεσθαι ὑπὸ τῆς τῶν πετρῶν ἐν σελήνῃ αὐγῆς, καὶ ὑπὸ τῶν πελιδνῶν, ἀφ' ἁπάσης ἐκκυπτόντων βώλου, προσώπων. Ἀλλ' ὁ μὲν λέων, ἆρα ἀθύμως ἔχει ἐν τῷ τοῦ κευθμοῦ σκύτει; ἢ τὸν σύαγρον ἑωράκατε ταράττόμενον; ὁ μὲν ὗς ἄγριος νάπην

ædificarent, arcemque, de qua urbs denominata est, (Amathia enim Syris arx). Mathæbalus interea magnam nactus potentiam etiam reliquos sibi subjecit pastores, qui tributum ei fecere singulis annis centum boves, ovesque quadringentas. Hoc modo Mathæbalus primus erat Syrorum rex. Quo mortuo Balmachanes regnum suscepit, qui a Mathæbalo cum exercitu contra Gigantes montanos missus erat, atque victor cum militibus eodem tempore forte in urbem rediit. Sed cum crudelem sese præberet multosque in urbe occideret, Ammisus, ex ordine pastorum oriundus civibus adjuvantibus, regno eum privavit, expulitque civitate. Exsul igitur factus est ac per multum tempus circumerrans hæc dixit verba: Ammisus civitate me expulit, servique ludibrio me habuerunt; servos vero flagellabo, Ammisumque occidam. Olim requiescebam in purpuris Tyriis, pulvinus autem textus erat e bombyce Babylonica. Jam vero petra est domus mea, desertum autem pulvinus mihi. Ne credatis, timore me esse affectum, quo tempore tenebræ involvant sylvam, procellæque arbores personent, velut feræ cujusdam rugitus; neque me extimescere petrarum ad lunam splendorem aut pallidas ex quaque gleba prospicientes facies. Sed leo, num in metu est, cinctus cubilis sui tenebris, aut vidistine aprum timore correptum? Aper peragrat imperterritus sylvam, leo-

διαβαδίζει ἀταράκτος· τοῦ δὲ λέοντος βρυχηθμὸς τοῖς ἐναντίοις φόβον ἐμβάλλει. Ταῦτα γεγραμμένα ἐστὶν ἐν τῷ τῶν ᾀσμάτων βιβλίῳ.

XVII. Νυκτέρευμα δ' εἶχον ἐν τῇ χήρας τῆς προειρημένης ἐπαύλει. Τοῖς οὖν, εἴτε παρ' ὅλον τὸν βίον δεῖ αὐτοὺς ἐν τῇ νήσῳ διαμένειν, εἴτε μὴ, ἀγνοοῦσι νυκτὸς ἐμβῆναι ἐδόκει πλοῖον τῶν παρὰ τῇ ἐπαύλει ὁρμούντων πολλῶν καὶ ἀπιέναι. Τοὺς δὲ ἑτέρους ἤδη ἐμβεβηκότας ὑστερίσας τις ἐπεκάλεσεν, οὐκ ἰδὼν αὐτοὺς ἐν τῷ σκότει. Ταῦτα δὲ τῶν Ἰμυρχακίνων ἀκούσαντές τινες, κλέπτας ἐνόμισαν ὑπάρχοντάς τε καὶ βλάψοντας τὰ πρόβατα. Οἱ δὲ Βύβλιοι τὴν ταχίστην εἰς τὴν ἔπαυλιν ἐπανῆλθον. Εἰ γὰρ φυγόντες κατελήφθησαν, πάντες ἂν ἀπέθανον. Μετὰ ταῦτα οὖν ἐκ καινῆς δυσθύμως εἶχον πολὺν χρόνον, ἐαλωκότες μὲν ἄφυκτον ἅλωσιν, ἰσχυρῶς δὲ καὶ τὴν πατρίδα καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα ἐπιποθοῦντες. Τὸ δὲ τελευταῖον, ὅσοι μέχρι τοῦδε ἔμβιοι, ὑπὸ τῶν νησιωτῶν ἀποπέμπονται εἰς Ταρτησσόν. Ἐνθένδε οὖν, πολὺν χρόνον πολλὰ πεπονθότες καὶ δεινὰ πάθη ἐπορεύθησαν εἰς Βύβλον, ἔνθα καὶ τοῖς ἐν Τέγγῃ ἀπολελειμμένοις ἐνέτυχον ἀνδράσι, καὶ αὐτοῖς πολλὰ πεπονθόσι. Τούτων μὲν τελευταῖος ἀπέθανεν ὁ Βαλίδανος, τῶν δ' ἐν τῇ νήσῳ γενομένων ὁ Ἀναβαῖος, πρεσβύτατος μὲν, διὰ δὲ πολλοὺς, οὓς ἔπαθε πόνους καὶ ταλαιπωρίας αἰκιζόμενος, ὥστε καὶ τῶν κονδύλων ἐκπεφυκέναι κέρατα δακτυλιαῖα.

XVIII. Ἔσχαται μὲν πρὸς ἑσπέραν τείνουσιν Ἰμυρχακίναι νῆσοι, (ὧν μὲν ἡ ὑστάτη δέκα ἡμερῶν ὁδὸν ἀπέχει τοῦ τῶν χειμώνων ἀκρωτηρίου,) ἥ μὲν Τρῆσα καὶ Τριζεῖμα καὶ Ἰγνδοῦλα καὶ ἄλλαι πολλαί. Τὸ παλαιὸν ἐν ταύταις ταῖς νήσοις πολλοὶ ἦσαν ἄν-

XVII. Pernoctabant autem in receptaculo viduæ supra memoratæ. Jam vero cum nescirent, utrum per omne vitæ tempus in insula manere deberent, necne, navem sibi elegerunt ex iis, quarum ad receptaculum erat multitudo, atque abierunt. Ceteri jam omnes in navem conscenderant; sed relictus erat unus, qui, cum ob tenebras eos non videret, acclamavit eos. Quod cum ex Imyrchacinis quidam audirent, fures adesse credidere, aut oves vexaturos, quam ob rem Byblii maxima cum celeritate, in receptaculum suum se receperunt. Si enim in fuga essent comprehensi, verisimile erat, ut omnes essent trucidati. Tum demuo diu magna erant in tristitia, quod captivitate tenerentur, neque possent effugere, et maxima patriæ, mulierum ac liberorum cupiditate arderent. Postremo ii, qui jam in vita erant, ab insulanis Tartessum missi sunt, atque inde, multa et dira diu passi, Byblum reverterunt, ubi in Tenga relictos invenere viros, qui et ipsi magnis fuerant in angustiis. Horum ultimus Balidanus obiit, eorum autem, qui fuerant in insula Anabæus, senex quidem, sed debilitatus multis laboribus atque ærumnis, ita ut digitis excreseerent cornua digitum longa.

XVIII. In extremo occidente Imyrchacinæ insulæ sunt sitæ, (quarum ultima decem dierum iter a ventorum promontorio abest), Hyresa, Hyrizima, Igydula et aliæ. Antiquissimis temporibus a multis hominibus incolebantur. Aniphas vero Hyresæ rex

Θρωποι. Ἀνίφας δὲ ὁ τῆς Τρήσης βασιλεὺς Τριζεῖμαν ἐμβαλὼν, ῥᾳδίως ἐνίκησε τὴν ἀτείχιστον ἔχων πολλὴν τὴν δύναμιν. Μετὰ ταῦτα καὶ τοὺς ἑτέρους ἀποκτείνων βασιλέας τὰς νήσους ὑφ' ἑαυτῷ ἐποιήσατο πάσας. Ἀπολωλότων οὖν τῶν πολεμίων, πάντας καθύβριζεν, ὥστε καὶ τοὺς θεοὺς ἐν οὐδενὶ ἐποιεῖτο λόγῳ. Τότε δὲ τῆς γῆς ἐγένοντο σεισμοί τε καὶ ὕδωρ καὶ πῦρ ἦν πολὺ ἐξ οὐρανοῦ. Ὁ δὲ βασιλεὺς ἀπέθανε καὶ τῶν κατοικούντων οἱ πλεῖστοι· οἱ δὲ λοιποὶ ἀπέφυγον, ὥστε νῦν μὲν αἱ νῆσοι ἀνθρώπων εἰσὶν ἔρημοι. Τψηλὰ μὲν ἐν αὐταῖς ὄρη, τὸ δὲ ὑψηλότατον ἐν Τρήσῃ γίνεται νήσῳ, φλόγας ἀεὶ ἀναπέμπον. Ταῦτα οὖν πάντα ἐν τῷ τῶν πλανημάτων γέγραπται βιβλίῳ.

XIX. Ὁ δὲ Βιλῖρος ἐποίησε παιδευτήριον ἐγγὺς τῆς αὐτοῦ πόλεως, ἐν ᾧ τῶν ἱερέων τρέφονται οἱ παῖδές τε καὶ τὰ ἱερὰ παιδεύονται καὶ τὴν τῶν νόμων ἐμπειρίαν καὶ τὴν ἰατρικήν. Ἀπέθανε δὲ τεττεράκοντα πέντε ἔτη βασιλεύσας.

Ε'.

I. Ὡς μὲν οὖν ὁ Ἰάβις ἐνίκησε τοὺς νησιώτας, καὶ ὡς τοὺς Ἀμαθαίους ὁ Βίμαλός τε καὶ ἃς ἐποίησεν ἀποικίας, καὶ τῶν Βυβλίων πρὸς τοὺς Βηρυτίους πόλεμος καὶ τὰ τῶν Βυβλίων πλανήματα ἐν τῷ τετάρτῳ λόγῳ δεδήλωται. Λέγει δὲ Σαγχουνιάθων, ὅτι μετὰ τὴν τοῦ Βελίρου τελευτὴν Ἀμώας ὁ Βελίρου, ὃς

fecit incursionem in Hyrizimam, quam, cum immunita esset, multis copiis facile sibi subjecit. Postea etiam reliquos interfecit reges, atque omnes devicit insulas. Hostibus autem victis, omnes contemnebat, ita ut et deos minimi faceret. Tum vero motus terræ exstiterunt, imbresque et ignis cœlestis, quibus et rex et multi incolæ perierunt. Reliqui in alias regiones confugere, ita ut nostris temporibus insulæ hominibus sint desertæ. Alti ibi inveniuntur montes, altissimus autem in Hyresa insula, ignem semper vomens. Omnia hæc descripta sunt in libro de erroribus.

XIX. Jam vero Belirus pædeuterium exstruxit haud procul ab urbe sua, ubi sacerdotum pueri educarentur, sacrisque instituerentur et legum peritia arteque medendi. Obiit autem post imperium quadraginta quinque annorum.

LIBER QUINTUS.

I. Jam vero quomodo Jabis insulanos devicit, et Bimalus Amathæos, quasque emisit colonias, sicuti et Bybliorum contra Berytios bellum atque errores Bybliorum in quarto libro enarrata sunt. Dicit vero Sanchuniathon, mortuo Beliro, Amoam Beliri filium, qui exercitum contra Tartessios duxit

ἡγήσατο τῆς ἐπὶ τοὺς Ταρτησσίους στρατιᾶς τε καὶ ἐνικήθη, πόλεις ἐκέλευσε τὰς ἐπιθαλαττίους ναῦς παρέχειν καὶ στρατιώτας, παρὰ τῶν Ταρτησσίων τε καὶ τῶν ἐν Ἐρσιφωνίᾳ καὶ Τέγγῃ ἀποικιῶν ληψόμενος δίκην. Αἱ μὲν οὖν ἀποικίαι σῖτον παρεῖχον καὶ τριήρεις, οἱ δὲ Κέρατοι δορυφόρους καὶ τοξότας.

II. Τοὺς δὲ παραγενομένους ἐκέλευσεν Ἀμώας στρατοπεδεύσασθαι κατὰ ἔθνη καὶ κατὰ πόλεις καὶ κατὰ φυλάς. Στρατόπεδον οὖν ἐποιήσαντο οἱ μὲν Βύβλιοι ἐν Σωάτῃ, οἱ δὲ Βηρύτιοι καὶ Ἀράδιοι ἐν τῷ πεδίῳ τῷ παρὰ Βιδκορῶθ, οἱ δὲ Γίγαντες ἐν τοῖς τῶν Διβωνιτῶν ἀγροῖς, οἱ δὲ Σιδύνιοι καὶ Κέρατοι ἐν τῇ πόλει, οἱ δὲ νησιῶται παρὰ τῷ λιμένι· αἱ δὲ τριήρεις ὥρμουν κατὰ τὸ ἐν Δίβωνι χωρίον βασιλικὸν, ἀνέμων τὸν ἐπὶ Σιδῶνα πλοῦν κωλυόντων. Ἀμώᾳ δὲ, διά τί τῶν Τυρίων οὐδεὶς παραγένοιτο, ἐρωτήσαντι, κατετάξατο ὁ τῶν Ἀραδίων βασιλεὺς, ὅτι μὲν οἱ Τύριοι παρεσκευάσμενοί εἰσιν, οὐ μέντοι ὡς τοῖς Σιδονίοις βοηθήσοντες, ἀλλὰ τοῖς Ταρτησσίοις, εἰσελθεῖν Ταρτησσόν τε καὶ ἐν τῇ πόλει ἐμπορεύσασθαι ἐῶσι τοὺς Τυρίους μόνους, τὰς δ' ἑτέρας πόλεις ἐξείργουσι τῆς προσόδου· ἀκολουθῆσαι δὲ τοῖς Τυρίοις τὰς ἐν Τέγγῃ καὶ Ἐρσιφωνίᾳ ἀποικίας καὶ συμβῆναι εἰς ξυνθήκας τοῖς Ταρτησσίοις. Δάβορπις δὲ ὁ Τύριος, φυγὰς, ἔφη, ὅτι καὶ τριάκοντα τριήρεις τοῖς Ταρτησσίοις ἔπεμψαν οἱ Τύριοι.

III. Ὁ μὲν οὖν Ἀμώας τοὺς Τυρίους δι' ὀργῆς εἶχεν ἰσχυρᾶς. Τὸ δὲ πρῶτον οὐκ ἐσπούδαζε περὶ τῆς αὐτῶν διαφθορᾶς, ἀλλ' ὅπως αὐτῷ συνεπίσποιντο εἰς

et devictus est, oppida ad mare sita, jussisse, naves atque exercitum instruere, cladem ulturus, quam a Tartessiis acceperat, coloniasque in Ersiphonia et Tenga redacturus ad obsequium. Coloniæ igitur frumentum et classem misere, Cerati autem hastatos et sagittarios.

II. Eos autem, qui advenerant Amoas jussit castra ponere, distributos secundum nationes, oppida et tribus. Castra igitur posuere Byblii in Soatæorum oppido, Berytii atque Aradii in campo apud Bidcoroth sito, Gigantes in agro Dibonitæorum, Sidonii et Cerati in urbe, insulani ad portum; naves vero longæ, cum venti contrarii eas impedirent, quominus Sidonem navigarent, e regione arcis quæ regi est Dibone. Amoæ autem quam ob caussam Tyriorum nemo advenisset, interroganti, Aradiorum rex indicavit, Tyrios quidem in armis esse, sed relictis Sidoniis, auxiliaturos Tartessiis, ut qui solis ipsis, Tartessum intrare ibique mercaturam facere concederent, reliquas vero urbes ab aditu prohiberent. Colonias vero in Tenga atque Ersiphonia Tyriorum secutos exemplum, cum Tartessiis fecisse fœdus. Daborpis autem exsul Tyrius, dixit, Tyrios etiam triginta naves longas misisse Tartessiis.

III. Hanc ob caussam Amoas Tyriis erat iratissimus. Neque tamen primo eorum studuit perniciei, sed multis precibus eos sibi conciliare contendit.

τὸν πόλεμον ἐθελονταὶ, πολλὰς ἐποιήσατο δεήσεις. Οἱ δὲ τὸ γένος τοῦ Μελικάρθου προλιπεῖν οὐκ ἠθέλησαν καὶ τοὺς Τύρον πόλιν καταστήσαντας. Τῶν δὲ Τυρίων πολλάκις παραιτησαμένων τὴν τῶν Σιδονίων ξυμμαχίαν, Ἀμώας Μολκοαίμαν τὸν Ὀβάδου ἀπέστειλε τὰ πλοῖα ἔχοντα ἐπὶ τοὺς Ταρτησσίους, αὐτὸς δὲ τὰ ὅπλα περὶ Τύρον ἔθετο. Νυκτὸς δὲ ἐξερχόμενων τῶν Τυρίων, πολλοὶ τῶν πολιορκησάντων ἀπέθανον. Ἀμώας δ' ἔφυγεν ἐλαύνων ἐφ' ἅρματος εἰς Σιδῶνα, ὅπου τὰς τριήρεις εὗρε καὶ αὐτὰς νενικημένας ἐν Κιττίῳ ὑπὸ τῶν Ταρτησσίων, καὶ τραυματισθεὶς μετ' ὀλίγον ἀπέθανεν, ἑξήκοντα βασιλεύσας ἔτη. Ὄβαδος δὲ, τὴν ψυχὴν ἀλγῶν ἐπ' ἀπολομένῳ ἐν Κιττίῳ Μολκοαίμῃ υἱῷ ἐτελεύτησεν, ἄρξας τρισκαίδεκα ἔτη.

IV. Οἱ οὖν Βύβλιοι Ἄννωνα εἵλοντο βασιλέα τὸν Μολκοαίμου, ἐν πρώτῃ ἡλικίᾳ γενόμενον, ὃς ἵππῳ ἐλαύνων χώλωσιν ὑπεκρύπτετο. Ἔτη δὲ πεντήκοντα τέτταρα ἐβασίλευε, προσφιλῶς τοῖς Βυβλίοις διακείμενος.

V. Ἀμώαν δὲ Ἰασίμων διεδέξατο. Τούτῳ δὲ σπονδαὶ ἐγένοντο πρὸς τοὺς Τυρίους, συγχωρήσαντι μὲν αὐτοῖς τὴν ἐν Σιδῶνι καὶ ταῖς τῶν Σιδονίων πόλεσιν ἐμπορίαν, καὶ τὰς τῶν Σιδονίων παραχωρήσαντι ἀποικίας τὰς ἐν Ἐρσιφωνίᾳ καὶ Τέγγῃ τε καὶ, ἢ μὴν ὑπὲρ τὴν τῆς Μυλίτης νῆσον ὑποσχομένῳ μὴ παραπλεῦσαι, μήτε εἰς τὰ τῶν Τυρίων χωρία, μήτε εἰς Ταρτησσόν. Ὁ δὲ Ἰασίμων εἴκοσιν ἔτη ἐβασίλευεν, εἰρηνικῶς διακείμενος πρὸς τοὺς Τυρίους.

Illi vero in Sidoniorum castris stipendia facere recusabant; nunquam enim sese Melicarthi genus deserturos esse, Tyrique urbis conditores. Sæpius admoniti cum Tyrii recusare pergerent, Amoas Molcoæmam Obadi filium cum classe emisit contra Tartessios, ipse autem Tyrum obsidebat. Noctu vero Tyriis erumpentibus, Sidoniorum magna multitudo interfecta est, atque Amoas curru vehens confugit Sidonem, ubi classem invenit, quæ etiam erat victa abs Tartessiis in Cittio insula, atque vulneratus mox obiit, sexagesimo anno postquam regnaverat. Etiam Obadus mortuus est, mœrore consumtus, quod Molcoæmas filius in prœlio navali contra Tartessios obierat. Obadus autem tredecim annos regnavit.

IV. Byblii Hannonem sibi elegerunt regem, Molcoæmi filium, admodum adolescentulum, qui equo vehens debilitatem suam celabat, atque annos regnavit quinquaginta quinque, Bybliorumque gratiam sibi conciliavit.

V. In locum vero Amoæ Jasimon substitutus est, qui ea conditione pacem accepit a Tyriis, ut mercaturam Sidone facere atque in Sidoniorum oppidis iis permitteret, earumque iis cederet possessione coloniarum, quas in Ersiphonia et Tenga constituerant Sidonii, promitteretque, sese nunquam classem missurum esse ultra Mylitæ insulam, neque in eas regiones, quæ in Tyriorum ditione essent, nec Tartessum. Jasimon viginti annos regnavit, neque

Τούτων δὲ πολλὰ δυστυχούντων καὶ εἰς ἐσχάτην καθισταμένων ἀπορίαν, ὁ Ἰασίμων πολλὰ ἠθροιζε χρήματα.

VI. Τῆς μὲν γὰρ τῶν Μυλιττίων νήσου ἐξ ἐναντίας Μαζαυρίσα κεῖται νῆσος, ἀπὸ ῥύακος τὸ ὄνομα ἔχουσα, ἐν αὐτῇ γενομένου. Γίνεται δὲ κατ' αὐτὴν πορθμὸς, ὃν μὲν διαπλεύσαντες τάχιστα εἰς Ἐρσιφωνίαν ἀφικνοῦνται· τοὺς δὲ μὴ διαπλέοντας πᾶσαν τὴν νῆσον δεῖ περιπλεῖν. Ἀλλὰ τοῦτον τὸν πορθμὸν ἔθνη περιῴκει ἄγρια καὶ ἄξενα, ὥστε οὐκ ἦν ἀδεῶς παραπορευθῆναι. Διὰ τοῦτο οἱ Τύριοι ἀμφοτέρωθι ἀποικίας ἐποίησαν, ἵνα ἐξείη ἀσφαλῶς διαπλεῖν, πόλιν μὲν ἐν τῇ νήσῳ, ἐν δὲ τῷ χωρίῳ ἀντικειμένῳ πύργον καὶ περιτειχίσματα. Πλῆθος δὲ τῶν βαρβάρων κατελθόντες τὰ μὲν περιτειχίσματα καὶ τὸν πύργον κατέβαλόν τε καὶ ἀπέσφαξαν τοὺς φρουροὺς, πλὴν ἕνα εἰς τὴν πόλιν καταφυγόντα καὶ τὰ γενόμενα ἀπαγγείλαντα. Τῶν μὲν οὖν ἐν τῇ πόλει, μὴ καὶ τὴν πόλιν ἐκπολιορκῶσιν οἱ πολέμιοι, μάλα φοβουμένων, οἱ Τύριοι πᾶν τὸ ἑαυτῶν τε καὶ τῶν νησιωτῶν ναυτικὸν εἰς βοήθειαν ἀπέστειλαν. Οὗτοι μὲν οὖν κατ' ἀγχὴν τοὺς τὴν νῆσον κατοικοῦντας ἐνίκησαν. Ἀλλὰ ὑπὸ τῆς νίκης μεθυόντων τε καὶ ἀμελῶς ἐχόντων περὶ τὴν εὐταξίαν, νυκτὸς ἐπανελθόντες πολλὴν ἐποίησαν σφαγὴν οἱ πολέμιοι. Ἐν τῷ αὐτῷ τῶν βαρβάρων τινὲς εἰς τὸν λιμένα διανηχόμενοι τριήρεις πεντήκοντα κατέκαυσαν. Τετρακισχίλιοι Τύριοι ἀπέθανον ἐν τῇ μάχῃ. Τῶν δὲ ἐπιτηδείων, ἃ πάντα ἔτι ἐν τοῖς πλοί-

eo regnante, pax cum Tyriis violata est. Hi vero dum versarentur in miseria redigerenturque ad paupertatem, Jasimon multas divitias sibi comparavit.

VI. E regione insulæ Mylittensium Mazaurisa insula sita est, cui nomen est a monte in ea igni-vomo. Ad eam est fretum, quod si quis pernavigaverit, celerrime Ersiphoniam consequetur, sin minus, totam opus est circumnavigare insulam. Sed gentes, quæ fretum hoc accolebant feritate erant inhospitali, ita ut nemo sine periculo præternavigare posset. Tyrii igitur in utroque freti littore colonias constituerunt, ut transitum redderent tutum, oppidum in insula, in ea autem ripa, quæ e regione insulæ erat, turrim ac munimenta. Barbarum autem multitudo descendit disjecitque turrim et munimenta, ac vigilias trucidavit, præter unum, qui in oppidum confugit, oppidanosque de barbarorum incursione certiores fecit. Cum autem oppidani magno essent in metu, ne urbem etiam barbari expugnarent, Tyrii omnes et suas et insulanorum copias iis in auxilium miserunt. Primo quidem Tyriorum exercitus insulæ incolas devicit. Cum vero victoria gloriarentur, disciplinamque militarem minus observarent, barbari noctu maximam eorum cladem edidere. Eodem tempore barbarorum quidam per portum natantes, quinquaginta naves longas incenderunt. Quattuor Tyriorum millia hoc in prœlio occisi sunt. Victu autem, qui adhuc in navibus fuerat, combusto omni, inopia

οις ἔτυχε καταλειπόμενα, οὐδὲν διεσώθη, καὶ σιτοδεία ἐγένετο παρὰ τοῖς Τυρίοις, ὥστε πολλοὶ ἔθανον ὑπὸ λιμοῦ, μέχρις οὗ πλοῖα σῖτον κομίζοντα ἀφίκετο ἐξ Ἐρσιφωνίας. Κατὰ μὲν τοῦτον τὸν χρόνον τοὺς πολεμίους ἐνίκησαν. Πολλάκις δὲ παραγενομένων τῶν βαρβάρων, φρουροὺς τῇ πόλει ἐγκαταλιπεῖν πολλοὺς ἦν ἀνάγκη.

VII. Σίδων οὖν ὁ Ιασίμονος τοὺς Τυρίους ἀκούσας ἐν Μαζαυρίσῃ δυστυχήσαντας καὶ ἐν πολλῇ γενομένους ἀχρηματίᾳ, ἐὰν ἑαυτοὺς πάλιν ὑποτάξωσι τοῖς Σιδονίοις, συμπράξειν αὐτοῖς ὡμολόγησε καὶ τριάκοντα ἀποστέλλειν τριήρεις εἰς βοήθειαν, στρατιώτας δὲ τρισχιλίους. Ταῦτα ἐπαγγελλομένῳ ἡδέως συνείποντο καὶ τὴν πόλιν καὶ τὰς νήσους Σίδωνι ὑπέταξαν. Σίδωνος δὲ βοηθήσαντος, τῶν ἐν Μαζαυρίσῃ πολεμίων τάχα περιεγένοντο οἱ Τύριοι. Οὕτως ὁ Σίδων τὴν τῶν Σιδονίων ἀποκατέστησεν ἡγεμονίαν. Ἀπετελεύτησε δ' ἄρξας ἔτη τετταράκοντα, πότερον δὲ φάρμακον λαβὼν ἢ διαλαβὼν ἑαυτὸν ἐγχειριδίῳ, ἀμφίβολόν ἐστιν. Ἐπεθύμει γὰρ τοῦ θανάτου ἐκ νόσου μακρᾶς οὐχ οἷός τε ἀνακύψαι. Μετὰ δὲ τοῦτον Κιτύλβας ἦρχε τῶν Σιδονίων.

VIII. Τριακοστῷ τετάρτῳ τῆς τοῦ Σίδωνος βασιλείας ἔτει, τῶν Βυβλίων πεντήκοντα πέντε ἔτη βασιλεύσας ἀπέθανεν Ἄννων. Μετὰ δὲ τὴν τοῦ Ἄννωνος τελευτὴν, Ἴέρβας ὁ Ἄννωνος Βύβλου πόλεως ἦρχε τριάκοντα δύο ἔτη, τοῖς Σιδονίοις προσφιλῶς ἔχων ὡς ὁ πατὴρ, ἐφ' ὅσον γε χρόνον Σίδων ἐβασίλευεν· ὁπλίτας

exstitit frumentaria, ita ut multi fame perirent, donec naves adportarunt ex Ersiphonia frumentum. Eodem tempore Tyrii hostes repulere. Sed cum sæpius barbari redirent, magno opus erat præsidio firmare oppidum.

VII. Jam vero Sidon, Jasimonis filius, cum Tyrios in Mazaurisa esse victos audiret, ac rei pecuniariæ apud eos esse inopiam, iis, si iterum Sidoniis sese vellent subjicere, auxilium se missurum esse promisit, naves longas triginta, militum autem tria millia. Libenter Tyrii annuere urbemque atque insulas Sidonis subjecerunt potestati. Juvante deinde auxilio Tyrios Sidone, Tyriorum hostes in Mazaurisa insula brevi tempore victi sunt. Hoc modo Sidon imperium restituit Sidoniorum. Obiit post regnum quadraginta annorum; utrum vero veneno interceptus, an gladio se transfigens, in dubio relinquam. Immedicabili enim correptus morbo, vitæ pertæsus erat. Sidone mortuo Citylbas regnavit apud Sidonios.

VIII. Quarto et trigesimo anno regni Sidonis, Hanno, penes quem per quinquaginta quinque annos fuerat Bybliorum imperium, obiit. Quo mortuo Hierbas Hannonis filius in urbe Bybliorum regnabat duo et triginta annos. Sidone regnante amicitiam, quam erga Sidonios pater instituerat, maxima

γὰρ ἔτρεφε χιλίους καὶ δέκα παρείχετο πλοῖα, τακτὴν τὴν δύναμιν, δι' ἓξ ἐτῶν, εἰ καὶ τοῦτο πολλῆς ἦν δαπάνης. Μετὰ δὲ Σίδωνος τελευτὴν, διαλυθέντος μὲν ἤδη πάλαι τοῦ ἐν Μαζαυρίσῃ πολέμου, ὅμως αὐτὸν κελεύσαντι στρατιώτας καὶ πλοῖα παρέχεσθαι οὐκ ἐπείθετο Κιτύλβᾳ. Τὸ πρῶτον μὲν οὖν τοὺς Βυβλίους ἦν δεδογμένον ἐκπολιορκῆσαι Κιτύλβᾳ. Ἀλλὰ καὶ τοὺς Ἀραδίους τε καὶ τοὺς Βηρυτίους ἀκούσας τὴν αὐτοῦ ὕβριν δυσχεραίνοντας, ἄλλην ἑλόμενος γνώμην, αὐτοῖς εἰς λόγους ξυνέβη.

IX. Ἱέρβας δὲ ἀποικίαν ἐποίησεν εἰς τὴν τῆς τῶν Κιττίων νήσου ἀπεναντίον τῶν Κιλίκων χώραν· ταύτην δὲ τὴν πόλιν μετ' ὀλίγον ἀνάστατον ποιησάντων τῶν αὐτοχθόνων, ἔρημος ἦν ἡ χώρα πολὺν χρόνον. Τῶν δὲ Ταρτησσίων ἐκπεσόντες τινὲς παρὰ τῶν Τυρίων ἀγροὺς ἐζήτουν δεόμενοι· οἱ δὲ Τύριοι αὐτοὺς τοῖς Βυβλίοις προσέτρεψαν· τούτοις δὲ, τίνα δὴ τοῖς φυγάσι χώραν κατατάξαιεν, βουλευομένοις ταύτην πόλιν ἔδοξεν αὐτοῖς δοῦναι. Οἱ μὲν οὖν Βύβλιοι Ὠκαλοθῶνα σὺν τοῖς πλοίοις ἀπέστειλαν προστατεύσοντα τῆς κατοικίας. Ὁ δ' Ὠκαλοθὼν τὴν πόλιν περιτειχίσας ἀπετρέψατο τοὺς περιοικοῦντας, τῆς μὲν ἑαυτοῦ δυνάμεως, τῶν γε τριηρῶν μετὰ τὸν περιτειχισμὸν οἴκαδε ἤδη κατεληλυθυιῶν, πολὺ πλεονάζοντας, τῶν δ' ἱππέων ἐπ' αὐτοὺς ἐμπεσόντων, τάχα ἐκκλίναντας. Τὸν μὲν οὖν τοῖς πολεμίοις πολεμήσαντα δέκα ἔτη, τέλος προὔλιπον οἱ Βύβλιοι, τριήρεις καὶ στρατιώτας

diligentia coluit, gravisque armaturæ alebat mille milites ac decem naves, partem ratam, in promtu habebat sex annos, ita ut magnam in rem militarem faceret impensam. Post mortem vero Sidonis, cum Citylbas, quanquam bellum in Mazaurisa jam diu compositum esset, milites tamen navesque Hierbæ imperaret, hic, quominus exercitum præstaret, recusavit. Primo igitur Citylbas Byblum expugnare constituit. Sed cum etiam Aradios et Berytios audiret voluntati suæ esse repugnaturos, mitius egit ac pacem cum iis firmare studuit.

IX. Hierbas vero in eam Ciliciæ partem, quæ Cittiorum prospicit insulam, misit coloniam. Qua devastata ab indigenis, diu hæc regio deserta erat. Nonnulli vero Tartessii, patria profugi, agros a Tyriis petivere; cum autem Byblum mitterentur a Tyriis, Bybliique deliberarent de agris assignandis, coloniam illam vastatam iis dederunt. Byblii igitur Ocalothonem misere cum classe, urbis condendæ custodem. Ocalothon autem urbem muris circumdedit, atque regionis incolas repulit, quanquam hi colonos superarent multitudine. Cum enim equites in barbaros procurrerent, quam celerrime hi sese receperunt. Ocalothonem vero, postquam decem annos cum hostibus bellum gessit, Byblii deseruere; milites enim ac naves Tyriis miserant obsessis. Finitimos vero cum animadvertisset potentissimos esse, nec muros disjectos amplius esse præsidio,

τοῖς Τυρίοις πέμψαντες πολιορκουμένοις. Τοὺς μὲν οὖν περιοικοῦντας ἰδὼν δυνάμει προὔχοντας, καταβεβλημένα δὲ τὰ τείχη, τοὺς μὲν ἐν τῇ πόλει εἰς Κίττιον διεκόμισεν, αὐτὸς δὲ εἰς Βύβλον ἀπῆλθε. Τὴν δὲ πόλιν ἔρημον καλοῦσι Ταρτησσὸν ἢ Τάρσιν, διὰ τὸ τοὺς κατοικοῦντας Ταρτησσίους γενέσθαι. Ὁ δ' Ὠκαλοθὼν διὰ λύπην ἀπέθανε μετ' ὀλίγον χρόνον τὴν Κουσάβου παιδὸς ἀκούων τελευτὴν μάλα πρεσβύτης.

X. Βάσανος δὲ ἔντιμος γενόμενος ἐν τῇ τῶν Βυβλίων πόλει τοῦ ἄρχειν ἐπεθύμησε, καὶ Ἰέρβαν νυκτὸς διαλαβὼν, τὴν ἀκρόπολίν τε καὶ τὸν λιμένα κατεῖχε, πολλῶν βοηθησάντων. Τῇ δ' ὑστεραίᾳ βασιλέα αὐτὸν ἀνηγόρευσαν οἱ πολλοί. Τιμωρίαν δὲ ὑπὲρ τοῦ φόνου ληψομένους τοὺς Σιδονίους ἐξιλάσατο, πάντα ὁμολογήσας τοῖς αἰτουμένοις. Ἀπέθανε δ' ἄρξας τριάκοντα δύο ἔτη ὁ Ἰέρβας, τῶν Σιδονίων βασιλεύσαντος εἴκοσιν ἓξ ἔτη τοῦ Κιτύλβου. Βάσανος δ' ὁ φονεύσας Ἰέρβαν, πεντήκοντα ἓν ἄρχων ἔτη τῆς πόλεως ἐξεβλήθη ὑπὸ τῶν Βυβλίων, τοὺς ἀμφὶ αὐτὸν περιορῶν ὑβρίζοντας. Κιτύλβας δὲ τὰ πάντα ἦρχεν ἔτη τετταράκοντα δύο. Τούτου δ' ἀποθανόντος Ἀγαθὼν ὁ Κιτύλβου τῶν Σιδονίων ἦν βασιλεὺς ἔτη δυοῖν δέοντα τριάκοντα. Ἀποστείλας δὲ πλοῖα πολλὰ εἰς Μαζαυρίσαν, ἀποικίας πέντε ἐποίησε, τοῦ τῶν Σιδονίων πλήθους περιουσίου γενομένου. Ἐπεὶ δὲ αἱ ἐν Ἐρσιφωνίᾳ πόλεις τοῖς Ταρτησσίοις πολλάκις εἰσβάλλουσιν οὐχ οἷοί τε ἦσαν ἀντέχειν, χίλιοι καὶ εἰς ταύτην τὴν χώραν ἀπῴκησαν ἄποικοι. Ἀπεναντίον δὲ καὶ

oppidanos in Cittium insulam traduxit, ipse vero Byblum se contulit. Urbem vero desertam nominant Tartessum sive Tarsim, quia incolæ fuere Tartessii. Ocalothon vero summa in senectute, cum Cusabæ filii mors ei annuntiaretur, mœrore consumtus est.

X. Basanus vero in urbe Bybliorum auctoritate præditus, cupidusque regnandi, Hierbam noctu interfecit, multisque adjuvantibus, arcem ac portum occupavit, ac postridie a populo rex creatus, Sidoniorum, Hierbæ mortem primo vindicaturorum, sibi conciliavit favorem, omnia iis, quæ petebant, concedens. Obiit vero Hierbas post regnum triginta duorum annorum, anno vigesimo sexto postquam Sidoniorum regnum ad Citylbam rediit. Basanus vero, qui Hierbam interfecerat, quinquagesimo primo regni anno a Bybliis urbe ejectus est, quia suorum insolentiæ rationem non habebat. Citylbas vero omnino duo et quadraginta annos regnavit. Post ejus mortem Agathon Citylbæ filius Sidoniorum regnum triginta octo tenebat annos, magnamque in Mazaurisam misit classem, et quinque colonias condidit, quo populi abundantiam educeret; mille etiam coloni incoluere Ersiphoniam, cujus urbes antea Tartessiis resistere non poterant, sæpe in hanc regionem incurrentibus. E regione Ersiphoniæ duæ

τῆς Ἐρσιφωνίας δύο γίνονται νῆσοι, Κύτων καὶ Γάδυλα, εὐδαίμονες καὶ ὕλης ἀφθονίαν ἔχουσαι. Παρὰ τοίνυν τῷ κατ' αὐτὰς πόρθμιῳ Ἀγάθων πόλιν ἔκτισεν. Ἐκέλευσε δὲ καὶ τοὺς Βυβλίους καὶ Ἀραδίους εἰς Τέγγαν ἀποικίας ἐκπέμψαι, τοὺς δὲ Βηρυτίους τὸν ἑαυτῶν ἐπισκευάσαι λιμένα. Ταῦτα μὲν δὴ πάντα τοῖς Τυρίοις ἦν ἐπίφθονα, κωλῦσαι ἀδυνάτοις.

XI. Τούτῳ τῷ χρόνῳ τῶν Κεράτων ἐπειράτευον πολλοὶ, τοῖς ἐκ τῶν νήσων ἐπανελθοῦσι πλοίοις ἐπιβουλεύοντες, καὶ ὁπότε πολλὰ φορτιζομένῳ ἐντυχοιεν, τὰ μὲν χρήματα ἀπολαμβάνοντες, τοὺς δὲ ἄνδρας καταδουλούμενοι. Διὰ τοῦτο οὖν χαλεπαίνων τοῖς Κεράτοις Ἀγάθων πολὺν συνέλεξε στρατὸν καὶ τὴν τῶν Ἀσκαλονιτῶν πόλιν ἐξεπολιόρκησε. Φρουροὺς δὲ τῇ ἀκροπόλει ἐγκαταλιπὼν Ἀραδίους καὶ Βηρυτίους, τὸ πολὺ δὲ Τυρίους, τοὺς πάντας ὡς χιλίους, ὥρμησεν ἐπὶ Γάζαν. Κατελθὼν δ' ἀπέθανε, νυκτὸς κατασφαγεὶς ἐν τῇ σκηνῇ ὑπὸ Μελκάλακος τοῦ Μαιναίου, ὃς παρεγένετο ἅμα τοῖς Τυρίοις. Οὗτος δὲ μετὰ τὴν τοῦ βασιλέως σφαγὴν τοὺς Τυρίους ἀθροίζων ταχέως εἰς Ἀσκάλωνα ἐπανῆλθεν. Ἐκ τούτου μὲν πολὺν χρόνον ἡ πόλις ἦν τοῖς Τυρίοις. Τῶν δὲ Σιδονίων καὶ Ἀραδίων καὶ Βηρυτίων εἰς τὰς ναῦς ἐμβάντων, ἀπώλοντο οἱ πλεῖστοι. Ἐν δὲ τούτῳ τῷ εἰς τοὺς Κεράτους στόλῳ τῶν Βυβλίων συνεστρατεύετο οὐδείς. Μετὰ δὲ Ἀγάθωνος θάνατον τῶν Σιδονίων Ἀσμούνιος ἦρχε παῖς ἔτι γενόμενός τε καὶ τὸ σῶμα ἀδυνάτως ἔχων.

sitæ sunt insulæ, Cyton et Gadyla, fertiles ac materiæ abundantia præditæ. Apud id igitur, quod inter eas est fretum, urbem condidit. Jussit etiam Byblios atque Aradios colonias in Tengam mittere, Berytios vero portum restituere; omnia hæc Tyriorum invidiam ciebant, neque tamen poterant impedire.

XI. Illis temporibus piraticam fecere multi ex Ceratis, navibus, quæ ex insulis rediere, insidiati, atque, ubi divitiis oneratam invenere, merces abstulere, nautas vero abduxerunt in servitutem. Hanc ob rem Ceratis iratus, Agathon magnum collegit exercitum atque Ascalonitarum urbem expugnavit. Aradiis vero Bybliisque, præcipue tamen Tyriis, omnino mille militibus relictis, urbem præsidio firmavit, atque Gazam versus profectus est, quo in itinere obiit, noctu in prætorio interfectus a Melcalace Mænæo, qui Tyriorum copias ducebat, atque, rege trucidato, cum Tyriorum exercitu quam celerrime Ascalonem profectus est. Ab eo inde tempore diu urbs in ditione erat Tyriorum. Sidonii deinde et Aradii et Berytii in naves sese contulerunt, sed plerique periere. In hoc autem contra Ceratos bello Bybliorum nemo aderat. Post mortem vero Agathonis Sidoniis imperabat Asmunius, puer admodum, qui infirma erat valetudine.

Ζ'.

I. Ὁ μὲν δὴ τῶν Σιδονίων πρὸς τοὺς Ταρτησσίους πόλεμος, καὶ τῶν Τυρίων μέγεθός τε καὶ ταπείνωσις, καὶ ὡς τῷ Ἰέρβᾳ ἀντεῖχον οἱ βασιλεῖς, καὶ ὡς, Ἀγάθωνα τὸν Σιδόνιον φονεύσαντες, τῇ τῶν Ἀσκαλωνιτῶν ἀκροπόλει φρουρὰν ἐγκατέστησαν οἱ Τύριοι, ἐν τῷ πέμπτῳ γέγραπται λόγῳ. Οἱ δὲ Βύβλιοι, ὡς τοὺς βασιλέας κατέπαυσαν τῆς ἀρχῆς τε καὶ Γομμάδην ἐνίκησαν, καὶ ὅσα οἱ Σιδόνιοι ἔπραξαν, ὅσα δὲ οἱ Ἰουδαῖοι καὶ Σομυραῖοι, ἐν τοῖς ὄπισθεν δηλωθήσεται. Τοὺς δὲ ἀμφὶ Βάσανόν, φησι, τοῖς Βυβλίοις αὐθάδως προσφερομένους οἱ ἐν τῇ πόλει εἰς τὸ βασίλειον συνελθόντες, δημοσίᾳ ἀποθανεῖν, δέονται καὶ αἰτοῦνται. Ὁ δὲ βασιλεὺς τοὺς δορυφόρους, ὡς τὸν ὄχλον ἀπελάσοντας ἀποστέλλει. Οὗτοι οὖν ἐπὶ τὸν ὄχλον χωροῦσι συντεταγμένοι· τῶν δὲ Βυβλίων πολλῇ προχωρούντων κραυγῇ, φεύγουσι, τοῖς δορατίοις περιπειρόμενοι ὑπ' ἀλλήλων. Οὕτως οὖν τῶν δορυφόρων περιγενόμενοι οἱ Βύβλιοι, τὸ βασίλειον βίᾳ εἰσῆλθον, καὶ ᾧτινι ἐντύχοιεν τῶν ἀμφὶ Βάσανον, ἀπέκτειναν. Βάσανος δὲ τρωθεὶς ἐκ τῆς πόλεως ἀπέφυγε καὶ ἐτελεύτησε τὸν βίον τῇ ὑστεραίᾳ. Μετὰ ταῦτα οἱ Βύβλιοι, ὅτι ἡ γερουσία εἰς τὸν ἔπειτα χρόνον τὴν τῆς πόλεως ἔξει ἀρχὴν μόνη, γνώμην εἵλοντο διὰ τὰ τῶν βασιλέων ὑβρίσματα καὶ ἀδικήματα. Βασάνου δὲ παῖδες, ὡς τὴν βασιλείαν ἀναληψόμενοι, ἐστρατεύσαντο

LIBER SEXTUS.

I. Bellum, quod Sidonii cum Tartessiis gesserunt, et Tyrii, qua ratione ad magnam primo pervenerunt potentiam, deinde vero ad inopiam redacti sunt, et quomodo reges Hierbæ restiterunt, atque quemadmodum Tyrii, Agathone Sidonio interfecto, Ascalonitarum arcem occuparunt, in libro quinto narratur. Attamen, quemadmodum Byblii urbe ejecerunt reges ac Gommadem vicerunt, et Sidoniorum res gestæ, sicut et bella Judæorum et Somyræorum in hoc libro narrabuntur. Jam vero cives, dicit, in arcem regiam convenisse, atque regi, ut comites, Byblios offendentes, supplicio afficeret, institisse. Sed Basanus, ut cives rejicerent, emisit hastatos, qui ordinato agmine in populum fecere impetum, sed, Bybliis magno clamore resistentibus, aufugerunt, invicem se hastis confingentes. Hoc modo cum hastatos devicissent Byblii, in regiam arcem vi irrupere, atque quem e comitatu regis invenerunt, trucidavere. Basanus ipse aufugit vulneratus atque obiit postridie. Post hæc Byblii civitatis imperium senatui solo mandarunt, propter regum et insolentiam et injustitiam. Filii autem Basani, ut regnum recuperarent, cum exercitu contra urbem profecti sunt, atque advenere

πρὸς τὴν πόλιν καὶ νυκτὸς ἀφίκοντο, ὅπως τὰς πύλας καταλάβοιεν ἐξαπιναίως. Οἱ δ' ἔνδον προμαθόντες ἔτρεψαν τοὺς ἐπιόντας. Μετὰ ταῦτα ἐπολιόρκουν τὴν πόλιν, ὡς λιμῷ αἱρήσοντες καὶ, τῶν Βυβλίων πλοίοις εἰσκομισάντων τὰ ἐπιτήδεια, δεσμοῖς τοῦ λιμένος διέκλεισαν τὰ πλοῖα ἀδαμαντίνοις. Τότε δὴ πολλὴ ἀπορία ἦν ἐν τῇ πόλει, ὥστε οἱ περιστρατοπεδευσάμενοι τὴν πόλιν ἐν βραχεῖ ἐκπολιορκήσειν ἤλπιζον. Οὐ μὴν ἀλλὰ τῆς αἱρέσεως ἀπέτυχον οἱ πολέμιοι. Οἱ μὲν γὰρ Βύβλιοι τριήρεις παρασκευάσαντες διέτεινον εἰς τὰ δεσμὰ καὶ πάντες ἐν τῷ ἑτέρῳ τῆς νεὼς διατρίβοντες κρασπέδῳ, ὥστε πρὸς τὰ δεσμὰ ἑτεροκλινεῖν, κάλως μὲν τοῖς καταπῇξι προσάπτουσι. Μετὰ ταῦτα δὲ τῷ αὐτῷ συνδραμόντες εἰς ἕτερον τὸ κράσπεδον, τῆς μὲν νεὼς ἐξαίφνης ἀναφερομένης, τὰ δεσμὰ καὶ τοὺς καταπῆγας πολλῇ κραυγῇ ἐξελκύουσι καὶ εἰς τὴν πόλιν ἀναφέρουσι.

II. Τότε οὖν οἱ πολέμιοι πρὸς τὴν ἅλωσιν ἀθύμως ἔχοντες, περὶ εἰρήνης λόγους ποιησόμενον πρὸς τοὺς ἔνδον ἀπέστειλαν. Οὗτος δὲ, ἀνὴρ εὐγενὴς ὢν ἄρτι ἐβοήθησεν εἰς τῶν πολεμίων στρατόπεδον ἐκ τῆς ὀρεινῆς καὶ οὐπώποτε πλοῖον ἰδὼν, καταθεάσασθαι ἐπόθει. Ἐπεὶ οὖν πρὸς τῶν Βυβλίων εἰς τριήρη εἰσήχθη, τοῦ μὲν πλοίου ἐθαύμαζε τὸ μέγεθος καὶ βεβαιότητα, μάλιστα δὲ τὴν ταχύτητα, καὶ πάντα ἀποβλέψας εἰς τὸ στρατόπεδον ἐπανῆλθε καὶ σπουδὰς γενέσθαι τάχα διεπράξατο. Ἐκ τούτου τοῦ χρόνου τοῖς Βυβλίοις οὐκ ἦν βασιλεὺς δι' ἐτῶν εἴκοσι

noctu, ut portis ex inopino potirentur. Qua de re certiores facti, appropinquantes in fugam dederunt oppidani. Urbem deinde obsidebant, fame eam expugnaturi ac, Bybliis classe commeatum in urbem importantibus, portum ferreis præclusernnt catenis. Qua re urbs cum fame premeretur, obsidentes eam brevi sese expugnaturos esse, sperabant. Sed spes hæc successu carebat. Byblii enim naves exornantes longas in catenas vecti sunt, omnesque in altero stabant navis margine, ut eum deflecterent in eam partem, ubi catenæ erant, atque eo facilius palos funibus circumdarent. Tunc vero eodem impetu in alterum contenderunt marginem, quo navis subito sublata est, et hoc modo catenas palosque magno extraxerunt clamore atque in urbem abstulerunt.

II. Quibus rebus cognitis, de urbis expugnatione hostes desperare cœperunt, Bybliisque de pace componenda misere legatum, virum nobilem ex regione montana. Qui cum modo cum auxiliaribus copiis in castra venisset, ac nunquam conspexisset navem, accuratius contemplari optavit. A Bybliis igitur in navem missus longam, ejus et magnitudinem et firmitatem est admiratus, præcipue tamen celeritatem; omnia vero contemplatus in castra rediit, pacemque brevi conciliavit. Ex hoc deinceps tempore Bybli erat interregnum viginti et centum

καὶ ἑκατὸν, καὶ ὅτι ἑκάστῳ ἔδοξεν, ἐποίησε. Πολέμων δὲ γενομένων πολλῶν, τὸ μὲν χωρίον ἐχερσεύετο, τὰ δὲ θηρία ὑπερέβαλεν ἐπὶ τὸ πλέον, καὶ λέοντες καὶ πάνθηρες καὶ λύκοι, ὥστε καὶ καταφαγεῖν τοὺς ἀνθρώπους ἐν τῇ πόλει.

III. Κατὰ τοῦτον τὸν χρόνον οἱ Βύβλιοι πλοῖα μὲν ἀπέστειλαν κατὰ Γομμάδου, ὃς πειρατεύων αὐτοὺς κακῶς ἐποίει, μάλιστα δὲ τὴν λεγομένην βοῦν. Τῶν δὲ Γομμάδου πλοίων κατὰ τὴν τῶν Κιτιέων ὀρεινὴν ὁρμούντων, ὁ Ἰίτρας παρῆν ἐπὶ τῶν νεῶν, διακοσίους ἔχων Βυβλίους καὶ ἑκατὸν μισθοφόρους καὶ τῶν πειρατευσάντων κατέλαβε πολλούς. Οἱ μὲν οὖν ἀμφὶ Γομμάδην, τῆς νεὼς ἐκβάντες κατέφυγον εἰς τὸ ὄρος· τῶν δὲ Κιττίων βοηθησάντων κατελήφθη καὶ αὐτὸς ὁ Γομμάδης καὶ οἱ μετ' αὐτοῦ γενόμενοι· τῇ δὲ ὑστεραίᾳ πάντες ἀπεθμήθησαν τὰς κεφαλάς. Οὗτος δ' ὁ πόλεμος τρόπῳ ἐγένετο τοιῷδε. Πολλὰ μὲν γὰρ κτήματα ἔχων ἀπῆλθεν ὁ Γομμάδης ὡς ἐπὶ τὸν τῶν Τεγγαίων βασιλέα, ὑφ' οὗ πρὸς τὰς μεγίστας τιμὰς ἀνήχθη. Αὐτοῦ δὲ καθυβρίζοντος τοὺς Ἀραδίους καὶ τοὺς Βυβλίους, χρηματιστὴς Βύβλιος, τὸν πλησίον κινήσας τε καὶ παρερχόμενον αὐτὸν δείξας δακτύλῳ, νῦν μὲν, ἔφη, μεγαλαυχής ἐστιν οὗτος ὁ ἄνθρωπος καὶ πάντας ὑβρίζει. Πρότερον δὲ δουλεύων ἐν τῇ ἡμῶν πόλει, εἰ καὶ πολλὰς ἔλαβε πληγὰς, οὐδ' ἔγρυξε. Τοῦτον δὲ τὸν λόγον βαρέως φέρων, ἐπεβούλευε τῷ Βυβλίῳ ὁ Γομμάδης. Ἀποφυγόντος δ' ἐκείνου, ναῦς κατασκευάσας Γομμάδης, οἱστισινοῦν περιτύχοι τῶν Βυβλίων,

annorum et ad suum quisque agebat arbitrium. Qua re factum est, ut multa exorirentur bella, omnisque regio depopularetur. Ferarum autem, et leonum, et pantherarum et luporum multitudo crevit mirum in modum, ut et homines media in urbe devorarent.

III. Eodem tempore Byblii contra Gommadem, qui prædo maritimus magnas iis intulerat injurias, naves emiserunt, præcipue eam, cui vaccæ erat nomen. Cum vero Gommades naves suas e regione montium Cittiensium in ancoris teneret, Iitras cum classe advenit et eum cum ducentis Bybliis et centum mercenariis est aggressus, multosque reprehendit. Gommadi autem comitum nonnulli ex navibus in montes confugere, sed Cittiensibus auxiliantibus, ipse Gommades sicut et qui eum secuti erant, capti ac postridie capite privati sunt. Quod bellum hoc modo ortum est. Gommades, vir divitissimus ad Tengæorum se contulerat regem, qui summis eum ornavit honoribus. Cum vero Aradios Bybliosque contemneret, mercator quidam Byblius, proxime astantem impellendo, Gommademque prætereuntem digito demonstrando, jam quidem, inquit, homo iste superbus est omnesque contemnit. Olim vero in nostra urbe servus, etsi multis affectus verberibus, ne muttivit quidem. Quæ verba male interpretatus, Byblio insidias paravit Gommades, et cum ille effugisset, classem armavit, omnesque, quos invenit, Byblios truci-

ἐφόνευσεν, ἀφελόμενος τὰ πλοῖα. Παρὰ τοῖς Κιττίοις οὖν ἐνικήθη ὑπὸ τῶν Βυβλίων.

IV. Τῶν δὲ Σιδονίων ἐν τούτῳ τῷ χρόνῳ βασιλεῖς ἀδύνατοι ἦσαν. Ἀσμούνιος ὀκτὼ ἔτη ἐβασίλευσεν, ὅτε ἀπετελεύτησε Βάσανος. Μετὰ δὲ τὸν Βασάνου θάνατον ἐβασίλευεν Ἀσμούνιος ἐννέα ἔτι καὶ τριάκοντα ἔτη, ὥστε τὰ πάντα ἑπτὰ καὶ τετταράκοντα ἔτη τῶν Σιδονίων ἦν βασιλεύς. Ἀποθανόντος δὲ τούτου Κύβωζος ὁ Ἀσμουνίου ἦρχε τῶν Σιδονίων. Ἐτελεύτησε δ' ἐν τῇ πρὸς τοὺς Τυρίους μάχῃ, ἔτη βασιλεύσας ἓν καὶ τριάκοντα. Νάσουκον δὲ τὸν Ἀσμουνίου παῖδα οἱ μὲν Σιδόνιοι τὸ πρῶτον τῆς πόλεως ἐξέβαλον· ἀπελθὼν δ' εἰς τὸ ὄρος τοὺς λέοντας ἐθήρευε πολλοὺς γενομένους. Μετὰ ταῦτα νικηθέντες ὑπὸ τῶν Τυρίων καὶ ἀποροῦντες οἱ Σιδόνιοι ἡγεμόνα αὐτὸν ἀπέδειξαν, καὶ Νασούκου τῆς στρατιᾶς ἄρχοντος, τοὺς πολεμίους ἐνίκησαν καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν καὶ ὑποχειρίους ἐποιήσαντο τοὺς Τυρίους τε καὶ τοὺς Βηρυτίους. Τοὺς δ' Ἀσκαλωνίτας πολιορκῶν λίθῳ βεβλημένος ἐν τῇ πύλῃ ἐτελεύτησεν ὀκτὼ ἔτη βασιλεύσας. Οἱ μὲν οὖν Σιδόνιοι τὸ φόνευμα εἰς τὸν αὑτῶν λιμένα διακομίσαντες, τὸν νεκρὸν ἀνεβίβασαν ἐπὶ ἅρμα, καὶ βασιλικῷ ἱματίῳ κοσμηθέντα εἰς τὸ τῶν βασιλέων ἠρίον ἀπεκόμισαν, προπομπευουσῶν μὲν τῶν παρθένων τε καὶ θρῆνον μελιζουσῶν. Θρηνήσετε ὦ ἄνδρες Σιδόνιοι τὸν ἀριστεύσαντα· τύψεσθε τὸν ὡραῖον ὦ παρθένοι. Νάσουκος γὰρ ἀποτέθνηκεν ἀκμάζων ὁ βασιλεὺς, πέπτωκεν ὁ τοὺς Τυρίους νικήσας. Οὐκ

davit, navesque intercepit. Ad Cittium vero a Bybliis victus est.

IV. Ii autem, penes quos tum temporis Sidoniorum erat imperium, exiguæ erant potestatis. Asmunius octo regnaverat annos, cum Basanus obiit. Post Basani vero mortem Asmunius novem insuper et triginta regnabat annos, ita ut omnino per annos quadraginta septem esset rex. Qui cum mortuus esset, Cybozus, Asmunii filius, Sidoniorum imperium suscepit. Hic est interfectus in prœlio contra Tyrios, postquam regnaverat annos unum et triginta. Nasucum vero, Asmunii filium Sidonii primum urbe ejecerunt; et ille sese in montes contulit, leonesque, quorum ibi erat multitudo, venatus est. Tempore vero prætorlapso Sidonii, a Tyriis pulsi atque adducti in angustias, Nasucum imperatorem crearunt, quo duce hostes vicerunt terra marique, ac Tyrios et Berytios vectigales sibi fecerunt. Ascalonitas vero cum obsideret, lapide vulneratus in porta obiit post regnum octo annorum. Interfectum vero Sidonii nave in suum transtulerunt portum ibique cum regia veste indutum atque impositum in curru vexerunt in regum sepulcrum, virginibus antecedentibus atque elegiam canentibus: Deploretis, o viri Sidonii, virtute omnibus præstantem, defleatis o virgines pulcherrimum. Nasucus enim mortuus est, florentissimus rex, obiit Tyriorum victor. Non erat effeminatus, ut regum filii, nec

ἐγένετο θρυπτικὸς, ὡς οἱ τῶν βασιλέων παῖδες, καὶ τῶν ἐν τοῖς βασιλείοις κατεφρόνει ἡδυφωνιῶν· ἀλλ' ἀκούων ἔχαιρε τὸν μαχομένων θύρυβόν τε καὶ λεόντων ἥδετο τῇ ὀργῇ. Τίς ὑμῶν τοὺς καὶ ἐκψύχου λέαινας ὀφθαλμοὺς ἀνέχεσθαι οἷός τε χλωρούς; τίς δὲ τῶν θηρίων συνδένδρῳ προσέρχεται; ἀλλὰ τοῦτον οἱ πάνθηρες ἔφυγον τὸν θαῤῥαλέον· ἐν δὲ τῶν λεόντων κευθμῶνι καθηῦδεν ὁ Νάσυνκος· ἀλλ' ὁ τὴν μάχην νικήσας λίθου ἀπὸ τείχους βολῇ ἀπέθανε καὶ παῖς ἀπέκτεινε τὸν λεοντοδάμαντα.

V. Μετὰ ταῦτα Κισλῶντα βασιλέα εἵλοντο οἱ Σιδόνιοι, τὸν τοῦ Νασούκου υἱὸν, ἔτη τετταράκοντα ἐννέα βασιλεύοντα. Οὗτος πλοῖα πολλὰ, ἀποικίαν ἐγγὺς τῶν Ταρτησσίων ποιήσοντα ἀπέπεμψεν, ἀφ' ἧς πρὸς τοὺς ἐγχωρίους ἐπιμίξαιντο. Τοῖς μὲν γὰρ Σιδονίοις ἐν τῇ τῶν Ταρτησσίων πόλει οὐδενὸς πρὸς οὐδένα διάθεσις ἐγένετο. Ὁ δὲ τῶν Ταρτησσίων βασιλεὺς, τὴν ἀποικίαν ἐκπολιορκήσας τε καὶ τοὺς Σιδονίους καταλαβὼν εἰς τὰ τῶν βαρβάρων χωρία ἐπέρασε. Πλοῖα δὲ καὶ ἀποστείλας εἰς τὰς νήσους, τῶν Σιδονίων ἀποικίας ἐποίησεν ἀναστάτους τὰς ἐν Τέγγῃ καὶ Ἐρσιφωνίᾳ καὶ λείαν πολλὴν ποιησάμενος εἰς Ταρτησσὸν ἐπανῆλθεν. Ἐξ ἐκείνου οἱ Σιδόνιοι εἰς Τέγγαν καὶ Ἐρσιφωνίαν παραπλεῦσαι οὐκ ἐτόλμων, κινδύνου τε γενομένου ἀπὸ τῶν ἐν τούτοις τοῖς χωρίοις λῃστῶν, τῶν δὲ τριήρων τῶν Ταρτησσιακῶν ἐν τοῖς κόλποις περιπλανομένων.

magni fecit carmina, quæ in arcibus regum cani solent. Sed militum gaudebatur clamore, leonumque de rugitu lætabatur. Quis vestrum flavos etsi mortuæ leænæ oculos sustinere potest? quis autem locum arboribus densum, ubi sunt feræ, audet adire? Sed fortem illum fugere pantheræ, et dormivit in cubilibus leonum Nasucus. Jam vero bellorum victor lapidis ictu e muro interfectus est et leonum domitorem necavit puer.

V. Post hæc Cislontem regem crearunt Sidonii, Nasuci filium, qui quadraginta novem annos regnabat, classemque emisit magnam, quæ in vicinitate Tartessiorum conderet coloniam, unde cum ejus regionis incolis facerent mercaturam, qua re in Tartessiorum oppido Sidonii erant prohibiti. Tartessiorum vero rex coloniam expugnavit Sidoniosque, quos captivos fecerat, in barbarorum regiones servos vendidit. Classem etiam in insulas misit, Sidoniorumque in Tenga atque in Ersiphonia colonias devastavit et magna cum præda Tartessum rediit. Ex illo inde tempore Sidonii in Tengam et Ersiphoniam navigare non ausi sunt, cum periculum esset a prædonibus, qui in illa exstiterunt regione, et a classe Tartessiorum, quæ in illis tractibus maris vagabatur.

VI. Τούτῳ τῷ χρόνῳ Δωτρέπης Καλυλόπα τὸν τῶν Ὀνακύνων βασιλέα τῆς πόλεως ἐκβαλὼν, τὴν ἀρχὴν παρεξείλετο. Καλυλὸψ δὲ πρὸς τοὺς Ἰουδαίους κατέφυγεν εἰς Ἰδουμαίαν καὶ ἐπ' αὐτοῖς ἦν πολὺν χρόνον, δι' ὃ οἱ Ὀνάκυνοι καὶ οἱ Ἰουδαῖοι διέστησαν πρὸς ἀλλήλους. Μετὰ ταῦτα οὖν τοῖς Ἰουδαίοις ἐπὶ τὰς νομὰς τῶν ἀλοπηγίων ἐξελάσασι τὰ βοσκήματα ποιμέσιν οἱ Ὀνάκυνοι καὶ Ὁμλάκυνοι νυκτὸς ἐμπεσόντες, τοὺς μὲν ποιμένας ἀπέκτειναν, τὰ δὲ βοσκήματα ἀπήλασαν εἰς τὴν πόλιν. Ἐπὶ δὲ ταύτῃ τῇ εὐτυχίᾳ μεγαλοφρονῶν πᾶσαν τὴν Ἰδουμαίαν καταστρέψασθαι ἐβούλετο Δωτρέπης τε καὶ Ἰσμιλύμαν ἀποστείλας, Ὁμλακύνων δὲ βοηθησάντων, τοὺς Ἰουδαίους ἐνίκησεν. Οἱ μὲν οὖν Ὁμλάκυνοι πολλὴν λείαν ποιησάμενοι μετὰ τὴν μάχην, ἀπῆλθον, οἱ δ' Ὀνάκυνοι τοὺς Ἰουδαίους κατεδίωξαν. Τῇ δ' ὑστεραίᾳ πάλιν εἰς μάχην καταβάντες πολλοὺς μὲν τῶν πολεμίων ἀπέκτειναν οἱ Ἰουδαῖοι, τὸν δ' Ἰσμίλυμαν εἷλον ζῶντα. Τοῦτον μὲν οὖν τῶν Ἰουδαίων ἄρχοντες ἑαυτοῖς ἐκέλευσαν ἀγαγεῖν καὶ τροφαλίδα καὶ πιτυρηνὸν ἄρτον τῷ ἀνδρὶ παρεῖχον καὶ ἱμάτιον τῷ ἀναμφιέστῳ. Ὁ δὲ, ἀήθης, ἔφη, τούτου γίνομαι τοῦ ὄψου τε καὶ τούτων τῶν ἱματίων, πορφυρίσι χρησάμενος. Ἐπεὶ μὲν οὖν, τῶν ἀρχόντων ἔφη ὁ πρεσβύτατος, ἡμῶν ὁ μὲν σῖτος μωραίνεται, τὰ δ' ἱμάτιά ἐστιν ἄκοσμα, τί ληψόμενος ἐπῆλθες. Ταῦτα λέγων Ἰσμίλυμαν ἦγαγεν ἐπὶ τῷ θανάτῳ. Μετὰ ταῦτα πολὺν χρόνον ἐπολέμουν οἱ Ἰουδαῖοι καὶ οἱ Σομυραῖοι πρὸς τοὺς Ὀνακύνους καὶ Ὁμλακύνους καὶ Κεράτους·

VI. Hoc tempore Dotrepes Calylopem Onacynorum regem civitate ejecit, regnoque potitus est. Calylops vero ad Judæos confugit in Idumæam, ibique diu morabatur; quam ob rem discordia est orta inter Onacynos et Judæos. Paulo post igitur, cum Judæi armenta pastum agerent in pascua salinarum, Onacyni et Omlacyni noctu eos aggressi, pastores interfecerunt, armenta vero in oppidum egerunt. Quo nisus successu, totam Idumæam Dotrepes sibi subjicere studuit et Ismilymam cum exercitu emisit, qui Omlacynis adjuvantibus, Judæos vicit. Omlacyni post prœlium commissum cum magna præda, redierunt in suum agrum, Onacyni vero Judæos persecuti sunt. Postridie vero prœlium renovantes Judæi multos hostes trucidarunt, Ismilymam autem ipsum comprehenderunt vivum; hunc adduci jusserunt Judæorum duces et caseum recentem panemque furfureum ei præbuerunt, nudoque vestem. Ille vero ait, sese nec tali cibo, nec tali vestimento assuetum esse; vestibus enim purpureis se usum fuisse. Tum vero natu inter duces inquit maximus, nostrum panem insipidum esse dixisti, vestesque nostras incomtas; quid igitur sumturus ad nos venisti? Quod cum locutus esset, Ismilymam ad mortem duxit. Post hæc Judæi et Somyræi diu bellum gerebant cum Onacynis et Omlacynis et Ceratis; Ceratorum vero arcibus potiri

τὰ δ' ἐρύματα τῶν Κεράτων οὐκ ἔλαβον. Οἱ δὲ Σομυραῖοι εἰς Βατάναιαν ἀπέβησαν. Ἡ δὲ Βατάναια φέρει καὶ βάλσαμον, ἀλλ' ἧττον Νεβίτης, ἣν εἶχεν ἐκ Τύρου ἐπανελθὼν ὁ Κιδμὼν, ἐκ Βυβλίων δεδομένην. Τὰ γὰρ Νεβιταῖα ὄρη ἄφθονον ἔχει βάλσαμον, πυροὶ δὲ πολλοὶ ἐν ταῖς κώμαις γίγνονται. Μετὰ δὲ τὴν Κιδμῶνος τελευτὴν Νεβίτης τε καὶ τῶν κωμῶν ἄρχει Ἄγμων τοῦ Κουσάβου πρωτύγονος.

VII. Κατεῖχον οὖν οἱ μὲν Ἰουδαῖοι τὰ τῶν Ὀνακύνων, τὰ δὲ τῶν Μωβαίων τε καὶ τῶν Ὁμλακύνων τε καὶ τῶν Βαταναίων οἱ Σομυραῖοι, πολλὰ βοσκήματα κεκτημένοι, ὧν ἐπιθυμητικοὶ οἱ Βαταναῖοι τοῖς Μωβαίοις περὶ τῆς τῶν Σομυραίων ἀπελασίας τε καὶ ἁρπαγῆς λόγους συνέβαλον. Ὡμολόγητο δ' αὐτοῖς, ὅτι οἱ Βαταναῖοι, ὅταν οἱ ἐν Βαταναίᾳ Σομυραῖοι στρατευόμενοι πρὸς τὰ ἔξω τύχωσι, τεμάχη ξύλινα εἰς Ἰαρδάνην ποταμὸν ἀποβαλοῦσι, τοὺς Σομυραίους ἀπεληλυθέναι σημαίνοντα καὶ ἐπικαλοῦντα τοὺς Μωβαίους, ὅπως συνταχθέντες τῶν ἐν τῇ χώρᾳ ὑπολειπομένων περιγενήσονται. Ἀπελθόντων οὖν ποτὲ τῶν Σομυραίων, οἱ Μωβαῖοι τὰ τεμάχη ἐν τῷ ποταμῷ ἰδόντες, ὅτι τάχιστα, ὡς τοῖς Βαταναίοις βοηθήσοντες, ἀναβαίνουσι καὶ τοὺς λειπομένους ἀποκτείναντες, λείαν πολλὴν ἐποιήσαντο, βοσκήματα καὶ πρόβατα καὶ αἶγας. Οἱ μὲν οὖν ἐν τοῖς Μωβαίοις γενόμενοι Σομυραῖοι, ἀδελφῶν ἀκούσαντες τὴν ξυμφορὰν, τὸ πρῶτον μὲν σὺν οὐδενὶ κόσμῳ ὑπεχώρουν τι· οὐ πολὺ δὲ ὕστερον ἐπανελθόντες τε καὶ νικήσαντες τοὺς

non poterant. Somyræi in Batanæam descenderunt, quæ regio etiam balsamum gignit, quod autem eo vilius est, quod procreat Nebite, quam Tyro reversus Cidmon a Bybliis datam accepit. Nebitæi enim montes balsami gignunt abundantiam, triticum autem multum in vicis existit. Post mortem vero Cidmonis Nebite et pagi sunt in ditione Agmonis, Cusabi primogeniti.

VII. Onacynorum igitur regione Judæi erant potiti; ager vero Mobæorum et Omlacynorum et Batanæorum in ditione Somyræorum erat, quibus multa erant armenta. Quæ cum Batanæi appeterent, Mobæis misere legatos de Somyræis expellendis ac diripiendis, polliciti, si ii, qui degerent in Batanæa Somyræi, bellandi caussa abierint, sese assulas ligneas in Jordanem flumen injecturos esse, quæ Somyræos abiisse significarent et Mobæos advocarent, ut copiis junctis eo facilius eos deviccrent, qui domi remanserint. Somyræi igitur cum in aliam regionem aliquando irrumperent, Mobæique assulas in flumine natantes animadverterent, quam celerrime cum exercitu in Batanæam profecti sunt, trucidatisque relictis, magnam fecerunt prædam, abegeruntque boves, pecora ovilla et greges caprinos. Qui autem in Mobæis erant Somyræi, quod fratribus acciderat, cum audirent, primo fugerunt incompositi; sed paullo post reversi Mobæos vicerunt, omnesque interfecerunt; Batanæorum vero montes in suam

Μωβαίους ἀπέκτειναν πάντας· τὴν δὲ Βαταναίων ὀρεινὴν οὐ κατεῖχον. Τὴν ἀλμαίαν οὖν περιῴκουν, τὰ μὲν πρὸς τὴν ἕω τετραμμένα κατασχόντες οἱ Σομυραῖοι, οἱ δὲ Ἰουδαῖοι πρὸς ἑσπέραν. Μετὰ ταῦτα καὶ τῶν Καρναίων νικήσαντες βασιλεῖς καὶ τοὺς ἐν τῇ μεσογαίᾳ, πᾶσαν τὴν χώραν κατεστρέψαντο. Τῶν δὲ παρὰ τῇ Θαλάττῃ κειμένων πόλεων εἷλον οὐδεμίαν.

VIII. Ἐκπολιορκησάντων μὲν γὰρ αὐτῶν τὴν τῶν Καρναίων πόλιν τε καὶ Ἄτυμον ἀποκτείναντων βασιλέα, οἱ μὲν Σιδόνιοι καὶ Τύριοι καὶ Βύβλιοι καὶ Ἀράδιοι καὶ Βηρύτιοι καὶ οἱ ἐν τῷ ὄρει, ὥστε ἀλλήλοις βοηθήσειν, ἐὰν εἰσβάλωσιν οἱ Σομυραῖοι, ἐποιήσαντο συνθήκας, ἡγεμόνα δ' εἵλοντο Κισλῶντα τὸν Σιδόνιον. Παρείχοντο οὖν εἰς Σίδωνα τὴν καθήκουσαν δύναμιν, οἱ μὲν Σίδονιοι πεντακισχιλίους, οἱ δὲ Τύριοι δισχιλίους, οἱ δὲ Βύβλιοι διακοσίους καὶ χιλίους, οἱ δ' Ἀράδιοι καὶ οἱ Βηρύτιοι ὀκτακοσίους καὶ χιλίους, τοὺς πάντας μυρίους, εἰς τὸ ὄρος στρατοπεδεύσοντάς τε καὶ ἐν Μωμιγούρᾳ κώμῃ προφυλάξοντας. Ταύτην οὖν τὴν δύναμιν ἐν τῷ ὄρει εἶναι ἀκούοντες οἱ Σομυραῖοι οὐκ ἀνέβησαν.

IX. Ἐπειδὴ ἀπετελεύτησεν ὁ Κισλὼν, τῶν Σιδονίων ἐβασίλευε Ῥάτωψ ὁ Κισλῶντος ἔτη ἑξήκοντα δύο. Ἀνομίας δὲ παρὰ τοῖς Βυβλίοις γενομένης διὰ πολλοῦ χρόνου, Ὤδαν ἀπεδείξατο τῶν Βυβλίων βασιλέα, αὐτίκα παραδεξάμενος τὴν ἀρχήν. Ἐκβαλόντες γὰρ Βάσανον οὐκ εἶχον ἄρχοντα οἱ Βύβλιοι δι' ἐτῶν ἑκατὸν εἴκοσιν ὀκτὼ καὶ Ὤδαν ἀσμένως ἐδέξαντο,

potestatem redigere non poterant. Lacum igitur asphaltiten circumhabitabant Somyræi in eo tractu, qui est Orientem versus, Judæi vero versus Occidentem. Postea etiam Carnæorum regulos et mediterraneæ regionis principes vicerunt, omnemque hunc tractum sui fecere ditionis. Earum autem, quæ ad mare sitæ sunt, urbium, nulla potiti sunt.

VIII. Carnæorum autem urbe a Somyræis expugnata, atque Atymo rege interfecto, Sidonii cum Tyriis et Bybliis atque Aradiis et Berytiis montiumque incolis fœdus ad Somyræos, si forte incursionem facere conarentur, repellendos fecerunt, ducemque creaverunt Cislontem Sidonium. Sidonem igitur partem ratam misere Sidonii quinque militum millia, Tyrii duo millia, Byblii mille et ducentos, Aradii et Berytii octingentos et mille, omnino decem millia, qui in montem proficiscerentur et in Momigura vico castra ponerent. Tantum in monte exercitum esse Somyræi cum audirent, incursionibus abstinebant.

IX. Cislonte mortuo, Ratops Cisloutis Sidoniis imperabat duo et sexaginta annos. Interregnum vero, quod apud Byblios diu exstiterat, finivit atque Odam iis misit regem. Urbe enim Basano expulso, Byblii per annos duodetriginta et centum rege carebant animoque benevolo Odam receperunt, penes quem quadraginta annos erat regnum.

βασιλεύοντα ἔτη τετταράκοντα. Μετὰ ταῦτα Τολύμων ὁ Ὤδου βασιλεὺς ἦν ἔτη τετταράκοντα δύο. Κατὰ τοῦτον τὸν καιρὸν εἰρηνικῶς διακείμενοι πολὺν χρόνον διεγένοντο πρὸς ἀλλήλους οἱ τῶν πόλεων βασιλεῖς. Μετὰ δὲ τὸν Ῥατόπα ἐβασίλευε τῶν Σιδονίων Ἰακύλβας ὁ Ῥάτοπος ἔτη πεντήκοντα δυοῖν δέοντα. Ἐπεὶ δ' ἐτελεύτησε Τολόμων Ἀρορφὴλ ἦρχεν ἐν τῇ τῶν Βυβλίων πόλει ἓξ καὶ εἴκοσιν ἔτη. Τούτῳ δ' ἦν ἀργυρώνητός τις, Σύβνας τοὔνομα (Σίβναν μὲν γὰρ λέγουσιν οἱ Βύβλινι ἀργυρώνητον), ὃν Ἀρορφὴλ εἰσεποιήσατο ἄπαις γενόμενος. Ἀποθανόντος δὲ τοῦ Ἀρορφῆλος, οἱ Βύβλιοι τὸν εἰσποίητον εἵλοντο βασιλέα, ὃς ἦρχεν ἑπτὰ καὶ εἴκοσιν ἔτη. Τῷ δὲ Ἰακύλβᾳ δύο παῖδες ἦσαν ὁ μὲν πρωτογόνος Πέτας, νεώτερος δὲ Βάρκας. Πέτας μὲν οὖν μετὰ τοῦ πατρὸς θάνατον τῶν Σιδονίων ἐβασίλευεν ἔτη τριάκοντα ἑνὸς δέοντος. Βάρκας δὲ τὸ πρῶτον μὲν τὴν δίαιταν ἐποιεῖτο παρὰ τῷ ἀδελφῷ. Σύβνου δ' ἀποτελευτήσαντος, Βάρκαν ἀπεδείξατο τῶν Βυβλίων βασιλέα Πέτας. Ἦρχε δ' ὁ Βάρκας τρία ἔτη καὶ τριάκοντα. Τούτῳ τῷ χρόνῳ οἱ Ἀμαθαῖοι εἰς τὸ κατ' ἀνατολὰς πεδίον ἀπέστειλαν ἀποικοῦντας, ὧν ἦρχετο ἀνὴρ ὀκτωπηχυαῖος, τῶν γιγάντων ἀπόγονος, ὃς εἰς τὰ ὄρη προελάσας τὰ τῆς Ἀρμενίας, ὑφ' ἑαυτῷ ἐποιήσατο τοῦτο τὸ χωρίον. Ἐν τούτῳ τῷ ὄρει καὶ μάντεις ἐγένοντο ἀλλοεθνεῖς, παρὰ τοῖς αὐτόχθοσιν ἐν ἀξιώματι ὄντες τε καὶ τοῖς ἀποικοῦσι. Πάντα οὖν τούτοις πυνθανόμενος ἀκριβῆ ὄντα καὶ οὐδαμῶς αὐτοὺς καὶ τὰ κρυπτότατα λαθεῖν δυνάμενα, Βάρκας Νεβραίαν

VIII. Montani triginta gravis armaturæ militum millia alunt ac duo millia sagittariorum; neque oppida iis sunt, neque naves, nec currus, sed habitant pagos. In eorum finibus sunt Bætylia oracula ab Urano Deo itidem instituta in pagis Gabara, Oryce et Gadra. Clarissima vero conspiciuntur in vertice Zetuni montis olivis consiti, supra viam, qua ex regione montana Tyrum proficiscuntur. In monte qui est e regione, munimentum est et vallum, arx vero in Momigyra pago, qui situs est in confinio.

IX. His omnibus Hierbas imperat rex, urbibus, pagis ac montibus, bellumque parantibus Tyriis urbes copias auxiliares mittunt, gravis armaturæ sedecim myriades et octo millia militum, hastatorum millia sex, sagittariorum duo millia et quingentos, naves longas trecentas viginti quinque, currus centum et octoginta. Bello autem exorto maritimo, Tyriis mittunt insulani millia circiter septuaginta militum, sagittariorum autem duo millia et sexcentos, navesque longas trecentas duodeviginti.

X. Ἡ μὲν οὖν πρώτη τῶν νήσων ἐστὶν ἡ τῶν Κιττιέων χώρα εὐδαίμων καὶ πολυάνθρωπος· τὴν δὲ μεσογαίαν βάρβαροι κατοικοῦσιν ὠμοί τε καὶ ἄθεοι, τῇ δὲ αὐτῇ τοῖς ἐν Λιβάνῳ ὄρει γίγασι χρώμενοι γλώττῃ καὶ τρόποις. Ἐν δὲ τοῖς κύλποις οἱ πρόγονοι κατῴκισαν πόλεις τε καὶ κώμας καὶ ἐρύματα. Κίττιον μὲν ὁ Δημαροῦς, μυρίους ἔχουσαν ὁπλιτῶν, ἑξήκοντα δὲ τριήρεις καὶ πεντακοσίους τοξότας· ἅρμασι δ' οὐ χρῶνται ἐν ταῖς νήσοις. Πλησίον δὲ κεῖνται Λύγδανα καὶ Γῶλα πόλεις, πολλαὶ δὲ καὶ κῶμαι. Γίνεται δὲ καὶ ἐν τῇ νήσῳ Μασοῦδα, ἣν Βίμαλος ἔκτισεν ὁ Σιδόνιος πόλιν, ᾗ τετρακισχίλιοι μέν εἰσιν ὁπλῖται, τριήρεις δὲ εἴκοσιν. Ἐνταῦθά ἐστιν ἰδεῖν τοῦ Κρόνου μέγιστον ἐν τῷ ὄρει βωμὸν, ἀεὶ μὲν λαμπρὸν καὶ τοῖς ἐν τῇ θαλάττῃ πλέουσιν αἰσθητὸν, εἰ καὶ πάντα τὰ ἐπιθαλάττια ὁμίχλῃ περικαλύπτεται.

XI. Πρὸς ἑσπέραν δὲ πλέοντες ἀφικνοῦνται εἰς τὴν νῆσον τῶν Ῥοδίων, οἳ πολέμου γενομένου τρισχιλίους παρέχονται στρατιώτας καὶ δέκα πλοῖα. Ἐκεῖ μὲν οὖν οἱ Σιδόνιοι πάλαι μὲν κτίσαντες πόλιν, διὰ δ' ἀκαρπίας καταλιπόντες, κατοικοῦσιν ἐν κώμαις πολλαῖς. Παμφόρον δὲ τὸ χωρίον τὸ ἀντικείμενον πολλοὺς τρέφει ἀνθρώπους· αὐτόθι γὰρ τῶν μὲν Σιδονίων γίνονται ἀποικίαι ἡ Μαχείρα καὶ ἡ Σούφα καὶ ἡ Ζώαρα, τῶν δ' Ἀραδίων ἡ Σάλη, τῶν δὲ Τυρίων ἡ Ὠζύνη καὶ Βεθομαλκρὼτ καὶ Μασάβα καὶ Κάσρα. Οἱ μὲν δὴ Μαχείραν κατοικοῦντες πεντακισχιλίους ἔχουσιν ὁπλίτας καὶ πλοῖα εἴκοσιν, οἱ δὲ τὴν Σούφαν

X. Prima est Cittium insula, maxima et clarissima, cujus regiones mediterraneas incolunt barbari crudeles et impii, gigantibusque Libani et lingua et moribus similes. Ad sinus patres oppida, pagos et arces condidere, Demaroon Cittium urbem, cui decem millia sunt gravis armaturæ militum, naves sexaginta, sagittarii quingenti; currus vero insulanis non sunt in usu. In vicinia sunt oppida Lygdana et Gola multique pagi. Est etiam hac in insula Masuda oppidum, quod Bimalus Sidonius condidit; huic sunt quattuor militum millia et viginti naves. Apud Masudam in monte conspicitur Croni ara, semper fulgens, iisque, qui prænavigant, etsi regio maritima sit nebulosa, conspicua.

XI. Qui Occidentem versus navigant, assequuntur insulam Rhodiorum, qui, bello orto, tria militum millia armant ac decem naves. Olim Sidonii urbem ibi condiderunt; qua propter soli sterilitatem relicta, jam multis in pagis habitant. Fertilissima vero regio, quæ ex adverso conspicitur, plurimos alit homines, ibique coloniæ sunt, Sidoniorum Machira, Supha et Zoara, Aradiorum Sale, Tyriorum Ozyne, Bethomalcrot, Masaba et Casra. Machiræ oppidi incolæ gravis armaturæ militum millia habent quinque, classemque viginti navium, Suphæi duo militum millia et decem

διςχιλίους ὁπλίτας καὶ δέκα πλοῖα, οἱ δὲ τὴν Ζώαραν ὁπλίτας χιλίους, δέκα δὲ πλοῖα. Τοῖς δὲ Σαλαίοις χίλιοι καὶ πεντακόσιοί εἰσιν ὁπλῖται, πλοῖα δὲ ὀκτώ. Ἡ δὲ Ὠζύνη διςχιλίους ἔχει ὁπλίτας, χιλίους δὲ καὶ διακοσίους Βεθωμαλκρὼτ, Μάσαβα δὲ πεντακοσίους, Κάσρα δὲ ὀκτακοσίους. Πλοῖα δὲ γίνεται ταύταις ταῖς πόλεσι πεντεκαίδεκα. Οἱ δὲ Μαχειραῖοι, Σουφαῖοι καὶ Ὠζυναῖοι πρὸς ἄρκτον πλέοντες εἰς πολλὰς νήσους τε καὶ πορθμοὺς, πολεμοῦσι τοῖς ἐνταῦθα βαρβάροις, οἳ πειρατεύουσι, πλοῖα ἔχοντες εὐρέα τε καὶ τοῖς ἡμετέροις ὅμοια.

XII. Μεγάλη δὲ καὶ τῶν Κεράτων νῆσος, ἔνθα οἱ μὲν Σιδόνες Μαπίζαν πόλιν ἔκτισαν, οἱ δὲ Τύριοι τὴν ἀποικίαν Μαπριστὼρ (τοῦτό φασι τῶν Τυρίων λιμένα), διὰ τὸ λιμένα ἐνταῦθα ἔχειν τοὺς Τυρίους. Μαπίζα μὲν οὖν τριςχιλίους ἔχει ὁπλίτας καὶ τοξότας ἑκατὸν, πλοῖα δὲ πεντεκαίδεκα, Μαπριστὼρ δὲ χιλίους καὶ τετρακοσίους ὁπλίτας, πλοῖα δὲ ἕξ. Ἐν τῇ ὀρεινῇ κατοικοῦσιν οἱ Κέρατοι, νῦν μὲν ὑποτεταγμένοι, πάλαι δὲ τῆς θαλάττης κρατήσαντες ἀποικίας ἐποιήσαντο εἰς τὰ πρὸς μεσημβρίαν. Τοὺς μὲν γὰρ Αὐτόχθονας Γίγαντας τῆς πατρίδος ἐκβαλόντες, οἱ μὲν, τὰς πόλεις κεκτημένοι τῶν Γαζαίων καὶ τῶν Ἀσκαλωνιτῶν, πᾶσαν τὴν μέχρις Αἰγύπτου κατεστρέψαντο χώραν· τούτων δ' ἀποτελευτησάντων, τῶν Αὐτοχθόνων ἐθιζόμενοι καὶ τὴν διάλεκτον καὶ τὸν βίοτον, οἱ ἀπολειφθέντες ὅλως καταλελοίπασι τῶν πατέρων ὠμότητα, ὥστε τῶν νησιωτῶν μηδὲ ἐπίστασθαι

naves, Zoaræ incolæ mille milites gravis armaturæ et decem naves. Salæis sunt milites mille quingenti et octo naves. Ozynæis sunt duo militum millia, Bethomalcrotensibus mille et ducenti, Masabæis quingenti, Casræis octingenti; omnibus his oppidis vero quindecim navium classis. Machiræi, Suphæi atque Ozynæi Septentrionem versus navigare in multas insulas et freta, atque barbaris, qui ibi degunt, bellum solent inferre, prædonibus maritimis, qui magnis utuntur navibus, nostrisque similibus.

XII. Magna etiam Ceratorum est insula, ubi Sidonii Mapizam urbem condidere, Tyrii vero coloniam, cui nomen imposuerunt Mapristor (Tyriorum portum hoc verbo exprimunt); nam portus hoc in loco est Tyriis. Mapiza militum alit tria millia et sagittarios centum; classem exornat navium quindecim; Mapristori milites sunt mille et quadringinti, navesque sex. Montes incolunt Cerati, nunc jam domiti; antiquissimis vero temporibus maris gavisi imperio, colonias constituere in iis, quæ in Meridiem spectant, regionibus. Indigenis enim expulsis patria Gigantibus, ex Ceratis alii, Gazæorum atque Ascalonitarum potiti oppidis, ad Aegyptiorum usque fines totum tractum in suam redegere ditionem; posteaquam autem hi supremum diem obierunt, eorum posteri, Indigenarum sermonem amplexi omnemque vitam atque victum, patrum feritate plane abstinebant,

τὴν γλῶτταν. Οἱ δὲ μετὰ τὸν πόλεμον εἰς τὴν νῆσον ἐπανελθόντες τοῖς πατρίοις ἔτι καὶ νῦν ἐμμένουσι τρόποις μὲν καὶ νόμοις καὶ διαλέκτῳ τῇ νησιωτικῇ καὶ ἀπλάστῳ ἐκείνῃ, πλήν γε δὴ ὅτι τραυλίζουσι τῇ φωνῇ οὐχ οὕτως, οὔτε γογγύζουσιν ὡς οἱ ἐν Κιττίῳ βάρβαροι. Τούτους οὖν πρῶτος ἐνίκησε Μαρνώτης ὁ Μελκάλακος, ὃν μὲν οἱ Ἀσκαλωνῖται ἐξέβαλον τῆς πόλεως ἔπαρχον· τῇ δὲ Μαίνῃ ἐνοικοῦντα αὐτὸν οἱ Τύριοι ἀπήλασαν, μέχρις οὗ ἐπανέλθοι τῆς ἐν Κερατίᾳ Ἀσκάλωνος αὖθις ἐπάρχων. Ὁ μὲν οὖν Μαρνώτης εἰς τὴν τῶν Κεράτων νῆσον εἰσβαλὼν, πολέμῳ μὲν τὴν χώραν ἐκτήσατο· πόλιν δὲ κτίσας κατωνόμασεν Ἀσκάλωνα καὶ βραχύ τι τοῦ χρόνου αὐτῆς ἐπάρξας ἀνεπικώλυτος ἐπανῆλθεν εἰς τὴν πατρίδα. Ταύτην δὲ τὴν πόλιν οἱ Τύριοι ὀνομάζουσι Μαπριστώρ· διέχουσι δ' ἀλλήλων Μαπριστώρ τε καὶ Μαπίζα ὡς ἡμέρας ὁδόν. Τῶν δὲ Μαπιζαίων ἀποικία τὰ Γάδειρα γίνεται πολυάνθρωπος καὶ εὐδαίμων· ναὸν δ' αὐτόθι ἀφιέρωσαν τῇ Ἀστάρτῃ περιτετειχισμένον, δι' ὃ καὶ τὸ ὄνομα τῇ πόλει· (Γάδειραν γὰρ τεῖχος λέγουσιν·) Ἐν δὲ χωρίῳ τῷ ἀντικειμένῳ πολλὰς κατοικοῦσι Γαδειραῖοι κώμας τε καὶ πύργους. Τῇ δὲ πόλει ἑπτακισχίλιοί εἰσιν ἡλικίαν ἔχοντες, τοξόται δισχίλιοι, τριήρεις τριάκοντα.

XIII. Πρὸς ἑσπέραν δὲ πλέοντες, πνεύματος καλοῦ ὄντος, τεταρταῖοι παραγίνονται εἰς Μαζαυρίσαν νῆσον εὐδαίμονα καὶ πολυάνθρωπον. Τύριοι δὲ καὶ Σιδόνες ἓξ μὲν κατοικοῦσι πόλεις, Νάσβον μὲν τοῦ Μελικάρ-

ita ut ne linguam quidem intelligere possint, qua insulani utuntur. Alii vero ex Ceratis, bello composito, in patriam redierunt et nostris etiam temporibus majorum mores ac leges colunt sermonemque insulanorum rudem; sed neque blæse loquuntur, neque strident, ut barbari, qui Cittium incolunt. Ceratos primus vicit Marnotes, filius Melcalacis, quem urbe ejecerant Ascalonitæ regulum; qui cum Mænam se contulisset, a Tyriis civitate est expulsus, donec Ascalonitas, quorum sedes essent in Ceratorum finibus, in Tyriorum potestatem redegisset. Marnotes igitur in Ceratorum insulam fecit incursionem, belloque devicit incolas; oppidum deinde condidit, cui nomen imposuit Ascalonis; cujus imperium cum per breve tempus apud eum fuisset, nemine prohibente, in patriam rediit. Hoc vero oppidum a Tyriis appellatur Mapristor, atque abest diei iter a Mapiza. Mapizæorum colonia est Gadira maxima atque clarissima, ubi templum consecrarunt Astartæ muris cinctum, quamobrem etiam nomen urbi inditum; (nam Gadiram nominant murum). In eo, qui ex adverso est, tractu, multos pagos et arces incolunt Gadiræi. Gadiræ autem sunt septem millia juvenum, duo sagittariorum millia et classis triginta navium longarum.

XIII. Secundis ventis quattuor diebus in Mazaurisam navigant, insulam clarissimam, quæ multos alit homines. Tyrii et Sidones sex ibi condiderunt oppida, Nasbum Melicarthi, Jamniam, Iitronem,

θου καὶ Ἰαμνείαν καὶ Ἰίτρωνα καὶ Μαλκούβαν καὶ Ὠφάλαν καὶ Μωράβαν, κώμας δὲ ἀναρίθμους. Ἔχουσι δὲ τοὺς πάντας οἵουστε ἀμύνεσθαι ὡς μυρίους καὶ χιλίους, πλοῖα δὲ τριάκοντα ὀκτώ. Μωράβαν δὲ καταλιπόντες τῇ ὑστεραίᾳ ἐπὶ Μυλίτης νῆσον ἐξικνοῦνται, οὗ μὲν πόλιν οὐκ ἔστιν ἰδεῖν, κώμας δὲ, ἐν αἷς στρατεύσιμοι μὲν γίνονται ὡς δισχίλιοι ἄνδρες, πλοῖα δὲ πεντεκαίδεκα· γέμει δ' ἡ νῆσος βωμῶν Ἀστάρτης τῆς Μυλίτης. Τὴν μὲν οὖν νῆσον ταύτην καταλιπόντες τάχα εἰς Μαφυλὴν ἀφικνοῦνται, ὑπ' Ἀραδίων καὶ Βυβλίων καὶ ἄλλων οἰκουμένην. Οὗτοι μὲν γὰρ τὸ χωρίον κατοικίσαντές τε καὶ περιτειχίσαντες πόλεις πέντε, πρὸς δὲ τῶν ἐπιχωρίων νικηθέντες μάλα ἀγρίων ὄντων τε καὶ πολεμικῶν, κατέφυγον εἰς τοῦτον τὸν τόπον, Μαφυλὴν κτίσαντες πόλιν, διὰ τὸ τὸν βίον ἀδεῶς ἐνταῦθα διάγειν τοὔνομα ἔχουσαν. Στρατὸς δὲ τῇ πόλει τετρακισχιλίων ἐστὶ στρατιωτῶν, πλοῖα δὲ ἓξ καὶ τριάκοντα. Κεῖται δὲ ἡ Μαφυλὴ ἐν Τεγγῇ, χωρίῳ μὲν διατεταμένῳ, ἀνθρώπων δ' ἐρήμῳ διὰ τὴν πολλὴν ἀνυδρίαν τε καὶ ἡλίου τὰ καύματα. Ἀπέχει δὲ Μαφυλῆς ἡ ἐγγύτατα τῆς Ἐρσιφωνίας ἀποικία πολὺ πλεῖον τῶν ἐν Ταρτησσῷ πόλεων, σκαιῶν ἕνεκα ἀνέμων, τῶν ἀπ' ἄρκτου φερομένων. Πορεύονται γὰρ τὸ πρῶτον εἰς Μαζαυρίσαν καὶ ἐνθένδε πρὸς ἄρκτον πολλὰς ἡμέρας εἰς Ἐρσιφωνίαν, ὅπου τέτταρές εἰσι κατοικίαι, αἷς μύριοι καὶ δισχίλιοι ὁπλῖται γίνονται, πλοῖα δὲ πέντε καὶ εἴκοσι. Τούτων ἐπηύξησάν ποτε οἱ Σιδόνιοι τὴν δύναμιν, πολέμου ἔσεσθαι μέλλοντος,

Malcubam, Ophalam et Morabam, multosque pagos. Omnibus his militum sunt millia fere undecim et triginta octo naves. Moraba relicta, postridie navis appellitur ad insulam Mylites, ubi oppidum exsistit nullum, sed pagi, in quibus reperiuntur duo millia virorum, qui arma ferre possunt, navesque quindecim; hæc insula Astartes Mylites ararum plena est. Ex hac insula profecti celerrime Maphylam adveniunt, ab Aradiis et Bybliis aliisque habitatam. Qui cum hanc incoluissent regionem et quinque oppida condidissent, ab indigenis feris ac bellicosis victi in hunc locum se contulerunt Maphylamque condiderunt urbem, cui, quod ibi tuti essent ab hostibus, nomen hoc imposuere. Militum sunt urbi millia quattuor et triginta sex naves. Sita est Maphyla in Tenga, regione, quæ late patet, sed propter aquæ penuriam et ardorem solis hominibus deserta est. Abest a Maphyla multo longius, quam Tartessiorum urbes, proximum Ersiphoniæ oppidum, propter aquilones retardantes. Nam primum in Mazaurisam profecti Septentrionem versus per multos dies navigant in Ersiphoniam, ubi quattuor exsistunt coloniæ, quibus duodecim gravis armaturæ militum sunt millia atque classis viginti quinque navium. Harum coloniarum copias Sidonii olim auxerunt, cum bellum oriri videretur, haud contra indigenas, quorum nec magnus est numerus, neque animus bellicosus,

οὐ πρὸς τοὺς ἐγχωρίους, ὀλίγους δὴ ὄντας καὶ εἰρηνικοὺς, ἀλλὰ πρὸς τοὺς Ταρτησσίους. Ἐν τούτῳ τῷ χωρίῳ Λίβνας γίνεται ὄρος, τῷ Μελικάρθῳ ἱερὸν, οὗ καὶ ἴχνος ἐνταῦθα ἰδεῖν ἐστὶ παρὰ τῇ ὁδῷ. Ἐγγὺς δὲ τῆς Ἐρσιφωνίας κεῖνται Κύτων καὶ Γαδύλα νῆσοι, ἐν αἷς πόλις παράκειται τῷ πορθμῷ, ἀφ' οὗ δεκαταῖοι ἀφικνοῦνται εἰς τὸν κατὰ Ταρτησσὸν πορθμὸν, τὴν μὲν Λειαθάνης παραπορευθέντες νῆσον ἔρημον καὶ τὸ χωρίον τοῦ Ὀβιβάκρου.

XIV. Ταύτην μὲν οὖν Ἰέρβας ὁ Τύριος ἔχει τὴν κατὰ γῆν καὶ κατὰ θάλατταν δύναμιν, τὰς πάσας ὁπλιτῶν τε καὶ δορυφόρων καὶ τοξοτῶν μυριάδας ὡς εἴκοσι πέντε, τριήρεις δ' ἑξακοσίας καὶ τετταράκοντα καὶ τρεῖς, ἅρματα δὲ ἑκατὸν καὶ ὀγδοήκοντα, χρήματα δ' ἀμήχανα ὅσα. Πολέμου γὰρ ὄντος αἱ πόλεις τοῖς Τυρίοις παρέχονται στρατιώτας εἰς βοήθειαν, τὸν δὲ παρὰ τὴν εἰρήνην χρόνον δασμοφοροῦσιν εἰς Τύρον.

XV. Σύμμαχοι δὲ καὶ τῶν Τυρίων οἱ Ταρτήσσιοι γίνονται, ἀπὸ Μελικάρθου ἔχοντες τὸ γένος τε καὶ πρὸς ἑσπέραν κατοικοῦντες. Ἄρχει δ' αὐτῶν Ναυσιτανὸς ὁ Χάροντος, μεγάλην μὲν ἔχων τὴν δύναμιν, πολλὰ δὲ πλοῖα καὶ τριήρεις. Πόλεις δ' οἰκοῦσι πέντε μεγάλας καὶ εὐδαίμονας, πολλὰς δὲ καὶ κώμας. Τὰ μὲν οὖν ἐπὶ τοῖς ποταμοῖς ἐστὶν εὔκαρπα, τὰ δὲ ὄρη ἔχει ἄργυρον καὶ χρυσὸν πολλαχοῦ, οὐχ ἥκιστα δ' ἐν Ἀρδιάβῃ καὶ Ὠφίλῃ κώμαις. Ταρτησσὸς μὲν οὖν (οἱ δὲ Φοίνικες Ταρσὶν λέγουσι) τῷ μὲν πορθμῷ καὶ τῷ

sed contra Tartessios. In hoc tractu Libnas est mons, Melicartho sacer, cujus et vestigia ibi conspiciuntur prope viam. E regione Ersiphoniæ Cyton et Gadyla insulæ sunt, ubi oppidum adjacet freto, ex quo decem diebus in id navigant, quod ad Tartessum est fretum, insula Liathanæ et regione Obibacri superatis.

XIV. Eæ autem, quas terra marique Hierbas Tyrius alit copias, minime sunt spernendæ. Nam sunt ei gravis armaturæ militum et hastatorum et sagittariorum omnino ducenta et quinquaginta millia, naves longæ sexcentæ quadraginta tres, currus centum et octoginta, maximæque divitiæ. Bello enim orto urbes suas copias Tyriis in auxilium mittunt, pacis vero tempore iis pendunt tributum.

XV. Fœdere cum Tyriis juncti sunt Tartessii, qui ex Melicartho originem ducunt, quorumque sedes in Occidentem spectant. Regnum eorum penes Nausitanum est, Charontis filium, cui maximus est exercitus, multæque naves, et onerariæ et longæ. Hominum multitudo est distributa in quinque urbes maximas et clarissimas, multosque et pagos incolunt. Regiones fluminibus adjacentes sunt fertilissimæ, montanæ autem argento auroque abundant, præsertim, quas in Ardiabe et Ophile pagis obeunt, fodinæ.

Ὠκεανῷ ἐπίκειται. Ὁ δὲ πρὸς ἄρκτον Ὠκεανὸς ἄπλευστος γίνεται διὰ τὸ κυμαίνειν, ὁ δὲ πρὸς μεσημβρίαν διὰ τὸ ἀνθρώπων ἔρημα εἶναι τὰ ἐπιθαλάσσια· ἐνταῦθα καὶ Τιβορσύφα ἀκρωτήριον. Αἱ δὲ πρὸς ἑσπέραν ἔσχαται ἐν τούτῳ τῷ πόντῳ γίνονται Ἰμυρχακίναι νῆσοι, ἡ μὲν Ἰρῆσα καὶ Ἰριζεῖμα καὶ Μαζαυρίσα καὶ Ἰγυδοῦλα, πάλαι μὲν πολυάνθρωποι· λοιμοῦ δὲ εἰς τὰς νήσους ἐμπίπτοντος, οἱ ἐγχώριοι, καθαρισμοὺς ποιήσασθαι παραλιπόντες ἀπέθανον, ὥστε νῦν ἔρημοί εἰσιν ἀνθρώπων· ἀπέχουσι δὲ Τιβορσύφης ὡς δέκα ἡμερῶν ὁδόν.

XVI. Οὗτος μὲν δὴ τῶν νήσων ἐστὶ περίπλους. Περιοικοῦσι δὲ τοὺς Τυρίους οἱ μὲν Κέρατοι καὶ οἱ Ἰουδαῖοι καὶ οἱ Αἰγύπτιοι καὶ οἱ Ἄραβες καὶ οἱ Δαμασκηνοὶ καὶ οἱ Ἀμαθαῖοι, τοῦ Ἱέρβα σύμμαχοι. Τὴν μὲν οὖν Αἴγυπτον ὁ Νεῖλος διαῤῥεῖ· πλοῖα δ' ἐν Νείλῳ πλέοντα ἀνὰ τὸν ποταμὸν, τῇ ἕκτῃ ἐπὶ δεκάτῃ ἡμέρᾳ εἰς μητρόπολιν ἀφικνεῖται, ἔνθα Αἰθίοπες πολλοὶ ἐκ τῶν πρὸς μεσημβρίαν τετραμμένων τῆς χώρας δουλεύουσι μελανόχρωτες, τὰ δὲ ἄλλα τοῖς Αἰγυπτίοις τοὺς τρόπους τε καὶ τὴν φύσιν ὅμοιοι. Διατρίβουσι δ' οἱ Αἰθίοπες ἐξώτατοι πρὸς μεσημβρίαν. Τὰ δὲ βόρεια κατοικοῦσιν οἱ Ἀρμένιοι καὶ οἱ Φρύγες καὶ οἱ Λυδοὶ, τὰ δὲ πρὸς ἄρκτον τῆς γῆς ἔσχατα οἱ Γάμβροι καὶ οἱ Ἀμύδωνοι καὶ οἱ Τιτᾶνες. Χαλκεύουσι μὲν οὖν οἱ Γάμβροι καὶ οἱ Ἀμύδωνοι· οἱ δὲ Τιτᾶνες δεινοὶ τὸ μέγεθός εἰσιν, ἡμίγυμνοί τε καὶ βαρβαρικώτατοι· λευκοὺς μὲν γὰρ ἵππους ἐκ Μηδίας ἀποκομί-

Tartessus (quam Tarsin Phœnices appellant) freto adjacet atque Oceano. Occanus septentrionalis est innavigabilis propter fluctus undosiores, meridionalis vero propterea, quod litora hominibus sunt deserta; ibi est Tiborsypha promontorium. Hoc in mari Occidentem versus ultimæ sunt Imyrchacinæ insulæ, Hyresa et Hyrizima et Mazaurisa atque Igydulă, olim hominibus habitatæ; sed peste pressi, cum Deos non placarent, incolæ obierunt, ita ut nostris temporibus desertæ sint. A Tyborsypha dierum iter circiter decem absunt.

XVI. Hæc igitur insularum descriptio. Habitant vero in vicinia Tyriorum Cerati, Judæi, Aegyptii, Arabes, Damasceni et Amathæi, fœderibus cum Hierba sociati. Aegyptum perfluit Nilus, in quo navigantes flumine adverso die septimo decimo in urbem veniunt principem, ubi multi reperiuntur servi Aethiopes, in regionibus nati meridionalibus, nigro quidem colore, ceteroquin Aethiopes et Aegyyptii inter se sunt similes et moribus et specie. Degunt in extremo meridie Aethiopes. Regiones autem septentrionales Armenii incolunt ac Phryges et Lydi, ultima vero septentrionalia Gambri et Amydoni atque Titanes. Gambri et Amydones æris gaudent fodinis; Titanes, immani corporum magnitudine homines sunt ferissimi, magnaque corporis pars aperta est. Candidos ex Media important equos, quibus divinos tribuunt honores. Titanes circum

σαντες, Θεοὺς νομίζουσι. Μεγάλην δὲ περιοικοῦντες λίμνην οἱ Τιτᾶνες καὶ οἱ Μῆδοι ὡς εἴκοσιν ἡμερῶν διέχουσιν ὁδόν. Τούτοις δὲ πάντων ὁ πρῶτος προσέπλευσε Στραδάβιδος ὁ Μαχειραῖος· νῦν δὲ τῆς προσόδου τοὺς Μαχειραίους διακλείουσιν οἱ ἐν ταῖς νήσοις βάρβαροι. Πρὸς δὲ τὴν ἕω κατοικοῦσι Βαβυλώνιοι καὶ Μῆδοι καὶ Αἰθίοπες. Εὐδαίμων μὲν οὖν ἡ τῶν Βαβυλωνίων πόλις καὶ πολυάνθρωπος· ἡ δὲ Μηδία πολλοὺς τρέφει καὶ λευκοὺς ἵππους· ἡ δὲ Αἰθιόπη παρὰ μὲν τῇ θαλάττῃ ψαμμώδης τε καὶ ἄνυδρος γίνεται, ἡ δὲ μεσογαία ὀρεινή. Ἡ δὲ πρὸς ἡλίου ἀνατολὴν χώρα ἐσχάτη Ῥαχίου ἐστὶν ἡ χερρόνησος, ᾗ προσπλέουσιν αἱ τοῦ Ἱέρβα τριήρεις.

Γ'.

I. Ὅσα μὲν δὴ ὁ Ἰώραμος ἔπραξεν, ὅσων δὲ ἦρχε καὶ πόλεων καὶ ἀποικιῶν καὶ ἀνθρώπων καὶ πλοίων καὶ ἁρμάτων, ἐν τῷ Ἰωράμου τοῦ Μαδύνου γέγραπται καταλόγῳ. Λέγει δ' ὁ Σαγχουνιάθων, ἀποθανόντος τοῦ βασιλέως, ὅτι Συδὺκ ὁ Ἰωράμου ἐβασίλευσε δύο καὶ τετταράκοντα ἔτη. Τοὺς δ' ἐν ᾧ Βελῖρος ἐποίησε παιδευτηρίῳ παιδευομένους εἰς Τύρον ἀπίεναι ἐκέλευσε διὰ τὸ αὐτοὺς ἐν Σιδῶνι τρυφᾶν. Ὃ γὰρ ἐποίησεν ὁ Βελῖρος, ἐγγὺς τῆς τῶν Σιδονίων πόλεως ἐγένετο παιδευτήριον, ὅπου τῶν ἱερέων ἐτρέφοντο οἱ παῖδές τε καὶ ἐπαιδεύοντο τὰ ἱερά τε καὶ τὴν ἐμπειρίαν τὴν τῶν κατὰ τοὺς νόμους καὶ τὴν ἰατρικήν.

magnum incolunt lacum atque viginti circiter dierum iter a Medis absunt. Ad eos princeps navigavit Stradabidus Machiræus; jam vero barbari, qui in insulis degunt Machiræos prohibent aditu. Orientem versus Babylonii habitant et Medi et Aethiopes. Babyloniorum urbs magna et præclara est; Media candidorum equorum excellit multitudine; Aethiopia vero ad mare arenosa est et aquæ egena et mediterranea in regione sunt montes. Earum autem, quæ in Orientem vergunt regionum ultima est Rhachii insula, in quam profectæ tunt Hierbæ naves longæ.

LIBER NONUS.

I. Quæ commiserit facinora Joramus, multitudinemque urbium et coloniarum et hominum et navium et curruum, quibus imperaverit, in commentariis suis Joramus filius Madyni descripsit. Dicit autem Sanchuniathon post regis mortem Sydycum Jorami regnasse duo et triginta annos. Sydycus igitur iis, qui in Beliri pædeuterio alebantur, Tyrum imperavit proficisci, propterea quod in urbe Sidoniorum effeminarentur. Nam haud procul Sidone Belirus condiderat scholam, ubi sacerdotum filii et sacris instituebantur et peritia legum et medicina. Sed antistitis munere cum fungeretur

Ἀλλ' ἐπιστατεύοντος τοῦ Δαήφου, πρεσβυτάτου γενομένου καὶ εὐήθους ἤδη ὑπὸ γήρως, πανουργήματα πολλὰ οἱ νεανίσκοι ἐποίουν· δῆλον δὴ ἐκ τοῦ βιβλίου, οὗ γέγραφε περὶ τὰ τῶν Σιδονίων ὁ Βαρμιρχάβας, ὃς ἔτη δυοῖν δέοντα εἴκοσι γεγονὼς τὸ παιδευτήριον εἰσῆλθε καὶ τὰ περὶ τὰ ἱερὰ ἐπαιδεύετο ἔτη τέτταρα.

II. Δέκα μὲν οὖν ἡμέρας ἐπὶ μῆνα ἕκαστον ἐξεδιδάσκοντο· αἱ δὲ ἡμέραι αἱ λοιπαὶ εἰς μελέτην τε καὶ τὴν ἰδίᾳ περὶ τῶν γραμμάτων σπουδὴν ἦσαν ἀποτεταγμέναι. Δάηφος τοίνυν λιπαροῦντας ᾤετο τοὺς μαθητὰς καὶ βραχέα αὐτῶν ἐφρύντιζεν· ἐκεῖνοι δ' ὅλον τὸν χρόνον εἰς τὴν πόλιν ἀποχωρήσαντες, ἀνειμένῃ ἐχρῶντο τῇ διαίτῃ. Ὑπελείποντο δέ τινες, ὡς ἐρωτηθέντες που ὑπὸ τοῦ Δαήφου, ποῖ εἶεν οἱ δεῖνες, περὶ τῆς ἐκείνων ἀπουσίας ἀπελογήσαιντο· ἀποθανόντος γὰρ τοῦ πατρὸς, ἔφησαν, τὴν μήτερα ἀπεχώρησε παραμυθησόμενος ὁ Ἰαλυκός· ὁ δὲ Βαλιάδης νοσεῖ· οὕτω προὐφασίζοντο ἐκ παντὸς τρόπου οἱ καταλειφθέντες, ἐκείνων ἀκολάστως ἐχόντων ἐν τῇ πόλει. Ἐσθ' ὅτε καὶ συμπίνοντές τε καὶ τρυφῶντες ἐγένοντο ἐν οἰκίᾳ οὐ πόῤῥω τοῦ παιδευτηρίου κειμένῃ, ἔνθα καὶ ἀεί ποτε ἦσαν κιθαρίστριαι τῶν περιπορευομένων· ἐνταῦθα γὰρ ὅτι τῶν νεανίσκων ἐντύχοιέν τισι, παρ' ὧν πολλὰ ἔλαβον καὶ μεγαλοπρεπέστατα δῶρα, ἀκριβῶς εἰδυῖαι, τὸν οἶκον οὐ παρέβαινον, ἀλλὰ πρὶν ἢ τὴν πόλιν εἰσελθεῖν, ἐν τούτῳ τῷ τύπῳ οὐκ ὀλίγον χρόνον διέτριβον. Τότε δὴ καὶ τὴν πόλιν εἰσῆλθον αἱ παῖδες.

Daëphus, cui extremam senectutem assecuto fluxa jam mens erat, multa edebant discipuli facinora per ludum et jocum, quæ intelligi possunt ex commentariis, quos de rebus gestis Sidoniorum conscripsit Barmirchabas, qui ipse duodeviginti annos natus in scholam receptus, per quatuor annos sacrarum rerum scientiam est edoctus.

II. Denos per mensem dies adolescentes instituebantur; reliqui meditationibus erant constituti studioque literarum privato. Sed Daëphus, ut qui literis eos incumbere haberet pro explorato, quid agerent, inquirere negligebat. Qua confisi negligentia omne, quod pueris erat meditationibus impendendum tempus, in urbe versabantur, libidinibus uti servirent, nonnullis relictis, qui a Daëpho forte interrogati, ubi sint reliqui, de absentia ipsos excusent. De morte patris, ajunt, consolaturus matrem abiit Jalycus; Baliades autem morbo est correptus; atque in hunc fere modum sodales, donec in urbe immodice vivebant, excusare consuerant. Sæpe etiam compotationum ac voluptatum caussa convenerunt in ædibus, haud procul a schola sitis, ubi quovis fere tempore versabantur citharistriæ ex iis, quæ circum vagari solent. Ibi enim discipulorum, qui magna atque clarissima dona sibi darent, quosdam se reperturas esse, cum pro certo haberent, domum non prætereibant, sed priusquam in urbem proficiscebantur, multum in hoc loco consumebant tempus; tum demum urbem intrabant.

III. Ἅμα μὲν οὖν τῷ Βαρμιρχάβᾳ τὴν πόλιν εἰσελθόντι ἦσαν ὁ Ἱεράκων καὶ ὁ Γίγας καὶ ὁ Χαρασών· ὁ δὲ Χαρασὼν οὐκ ἐγένετο τῶν μαθητῶν, ἀλλ' ὁ βασιλεὺς τῶν ἁλῶν αὐτῷ ὑπέταξε τὴν ἐμπορίαν· ἐκείνοις δ' ὁμῆλιξ γενόμενος πολλάκις τῆς αὐτῶν ἡδονῆς ἐκοινώνησεν. Ὡς οὖν ἐπὶ τὸ πολὺ τὴν πόλιν εἰςῆλθον νυκτὸς, ὥστε μή που ἀναγνωρισθῆναι ὑπὸ μηδενός. Τῇ μὲν οὖν ἑσπέρᾳ, φησὶν ὁ Βαρμιρχάβας ἐν τῷ βιβλίῳ, τῶν μὲν δούλων ναυτικῶν εἰςελθόντες καπηλεῖον, τὸ ἐγγὺς τοῦ λιμένος κείμενον, εἰςηκούομεν πολλάκις αὐτῶν πρὸς ἀλλήλους διαλεγομένων περὶ τῶν νήσων καὶ τῆς τῶν βαρβάρων χώρας· οἱ μὲν γὰρ ἦσαν νησιῶται, οἱ δὲ ἀπὸ τῶν Ταρτησσίων, οἱ δ' ἄλλοι παρὰ τῆς Τεγγῆς, ἔνιοι δὲ καὶ ἐξ Ἐρσιφωνίας προσεληλυθότες. Νυκτὸς μὲν οὖν ἤδη γενομένης προσήειμεν καὶ διεσκευασμένοι δὴ, ὥστε ἀναγνωρισθῆναι ἀδύνατοι ἦμεν, ἄλλα παντάπασιν ἀδιάγνωστοι· οὐ γάρ τοι ἀλλὰ νομίζουσιν οἱ Σιδόνιοι ἀπρεπέστατον τοῖς ναυτικοῖς προσομιλῆσαι δούλοις· ἡμεῖς δ' ἐνδυόμενοι ἱμάτια δούλεια, ὅμως προσωμιλοῦμεν, ϑύλαξι μὲν ἐπικείμενοι καὶ ἀσκοῖς τοῖς ἐν τῷ δαπέδῳ πολλοῖς γενομένοις (πολλὰ γὰρ ἐκ τῶν πλοίων ὑποκλέψαντες οἱ δοῦλοι ἐν τῷ καπηλείῳ κατέπιον), καὶ οἴνου πιόντες τοῦ αὐτοῦ τοῖς ναυτικοῖς πικροῦ· ἡδὺν γὰρ καὶ ἀγαθὸν οὐκ ἐκαπήλευσεν οἶνον ὁ ἄνθρωπος. Ἐνταῦϑα οὖν πολλὰ κἀξιόλογα ἠκούομεν περὶ ἀλλοφύλων ἀνθρώπων τε καὶ χωρῶν· τοῖς δὲ ναυτικοῖς χρώμενοι τοῖς αὐτοῖς ῥήμασί τε καὶ τρόποις, μὴ ὄντες ναῦται,

III. Una cum Barmirchaba, cum urbem intraret, Hieracon et Gigas erant et Charason; Charason quidem, quem salis venditioni præfecerat rex, non erat ex discipulis; attamen sibi æqualem sæpe voluptatum suarum fecere participem, ac ne, qui essent, agnoscerentur, noctu profecti sunt in urbem. Ad vesperam igitur, Barmirchabas in libro suo narrat, nautarum in tabernam, quæ portui adjacet, intrare consueramus ut nautarum nos oblectaremus narrationibus de insulis regionibusque barbarorum. Alii enim erant insulani, alii Tartessii, alii ex Tenga nati, nonnulli etiam ex Ersiphonia. De multa igitur nocte tabernam intravimus, atque, ne agnosci possemus, mutatis vestibus. Hoc modo plane nobis dissimiles eramus. Nauticis enim uti, Sidoniis turpissimum esse videtur; attamen nos iis utebamur, vestibus induti nauticorum; utribusque et culeis, quorum magna in atrio erat multitudo (omnia enim, quæ ex navibus furabantur servi nautici, hac in taberna potando absumebant) incumbentes, idem, ac servi, potabamus vinum acescens; dulce enim bonumque haud vendidit homo vinum. Multa ibi de externis mirabilia audivimus et hominibus et regionibus. Iisdem autem cum uteremur ac nautæ moribus genereque dicendi, nos haud esse nautas, minime animum advertebant, sed homines nos de plebe ejusdemque cum iis loci atque ordinis habe-

οὐδέποθ' ὑπ' αὐτῶν ἐγνώσθημεν, ἀλλ' ἐνόμιζον ἡμᾶς εἶναι ἀνθρώπους ἐκ τοῦ δήμου καὶ ἰσοτίμους. Εἰ δὲ μὴ, ἡμᾶς ἂν τοῦ καπηλείου ἐξέβαλον· σφύδρα μὲν γὰρ τῶν εὐγενῶν καταφρονοῦσιν.

IV. Ὁ δὲ κτησάμενος τὸ καπηλεῖον, ἀνὴρ μὲν ξυνετὸς ὢν, ὡς ἐπὶ τὸ πολὺ ἀφανεῖ χρησάμενος νεύματι ἡμῖν ὑπέδειξεν, ὅτι, ἡμᾶς, οὓς προσποιησαίμεθα, μὴ γενομένους σαφῶς ἐπίσταται. Τοῖς δὲ συμποσίοις μάλιστα ἡδόμενοι τοιούτοις, τῷ ἀνθρώπῳ, ἵνα μὴ ἃ ἐμεμαθήκει τοῖς ἄλλοις δηλώσαι, χιτῶνα δώσειν νεύπλυτον καθυπεσχόμεθα καὶ τὰς δαπάνας ἀποδιδόναι εἰς συμπόσιον ἁπάντων τῶν παραγινομένων. Τότε ἡδύν γε ἐπίομεν οἶνον. Γάφνος δὲ ὁ καπηλεύων εἰσήγαγε καὶ ψαλτρίας καὶ ὀρχηστρίδας· οὕτως οὖν σφόδρα ηὐθυμήθημεν ὅλην τὴν νύκτα. Ὁ δὲ Γάφνος τῶν κορασίων φίλησάς τινα, ὑπὸ πάντων ἐπεσκώφθη· ἡ μὲν γὰρ γυνὴ αὐτοῦ φιλήσαντα ἰδοῦσα αὐτὸν ἐξώρμησεν ἀποκινήσειν. Ἄλλοτε μὲν οὖν παντάπασιν ἦν ἐπὶ τῇ γυναικί· πρὸς πάντων δὲ καταγέλαστος κατὰ τὴν γυναικοκρατείαν, προάγεται εἰς ὀργὴν καὶ τῇ γυναικὶ προσφωνῶν, ἄπαγε σεαυτήν, φησι, σὺ μὲν γὰρ ὀστίνη πᾶσα· ταύτην δὲ τὴν νύκτα ὀστοῖς ἐπανακεῖσθαι οὐ δοκεῖ μοι. Μετὰ ταῦτα ἐκείνη κατέφυγεν αἰσχυνομένη.

V. Τὸ δὲ γελοιότατον τοῦτο· ὁ μὲν γὰρ Βαρκείφας τοῦ οἴνου ἤδη γενόμενος ἥττων, ἐκεῖνον, ἔφη, σκωπεῖτε ἀπεμοῦντα, τὸν αὐτῷ πλησίον ὄντα δείξας τῷ δακτύλῳ, καὶ ταῦτα λέγων οὐκ ἔφθη καὶ ἀπήμεσε

bant; quod nisi sibi persuasum habuissent, nos ex taberna ejecissent. Magnopere enim altiore loco natos despiciunt.

IV. Caupo, versutissimus homo, sæpissime nobis, nos non esse, quos professi essemus, se certo scire, secretis significavit nutibus. Conviviis autem hujusmodi cum maxime gauderemus, lautam promisimus homini vestem, ne, quæ novisset, cum reliquis communicaret, nosque sumtus suppeditaturos esse epularum, omnibus, qui adessent, instituendarum. Tum dulce nobis præbuit vinum Gaphnus caupo, psaltriasque intromisit et saltatriculas, quarum artibus tota nocte valde lætabamur. Gaphnus autem puellarum unam osculatus, omnium risui se exposuit; ejus enim uxor ut primum conspexit osculantem, a puella eum omnibus viribus removere studuit. Alias autem subjectus erat uxoris imperio; jam vero cum se hanc ob caussam derisum videret, ira incensus mulieri, apage, dixit; tota enim es ossea; hac vero nocte ossibus non incumbere, mihi est decretum. Post hæc illa pudoris plena discessit.

V. Res autem accidit valde ridicula. Inebriatus enim Barciphas, proxime sedentem digito demonstrans, clamare cœpit: ad illum quæso oculos convertatis vomentem; sed eodem temporis vestigio

καὶ αὐτὸς, τὸ πρόσωπον διεστραμμένος. Τότε μὲν οὖν πάντες ἐγέλασαν· τοῦ δὲ Βαρκείφα παραυτίκα ὕπνῳ καταληφθέντος, τῶν παραγενομένων τις, τοῦτον μὲν ὦ ἄνδρες, ἔφη, τὸν μεθύοντά τε καὶ παντάπασιν ἀναισθήτως ἔχοντα ποιώμεθα ἐν γέλωτι, αὐτῷ μὲν τοῦ Γάφνου περιβαλόντες τὰ ἱμάτια καὶ εἰς τὸ ἐκείνου ὑπόστρωμα κατακλίνοντες τὸν ἄνθρωπον. Ἀποκραιπαλήσαντα δ' ἡμεῖς μὲν προσελθόντες τε καὶ Γάφνον αὐτὸν καλοῦντες, παντάπασι δ' αὐτῷ χρώμενοι ὡς τῷ Γάφνῳ, ποιήσαιμεν ἂν Βαρκείφαν νομίζειν, ὅτι ἀληθῶς γίνεται ὁ καπηλεύων. Ἃ μὲν γὰρ ἀπέοικε, ταῦτα μὲν διὰ τὴν εὐήθειαν οὐκ αἰσθήσεται. Ταῦτα οὖν πᾶσιν ἐδόκει· ὁ δὲ ἀληθῶς Γάφνος ἐν τῷ μεταξὺ χρόνῳ κατεδύετο εἰς τὸ παροικοδόμημα, ἔνθα πάντα τὰ ἐν τῇ οἰκίᾳ γενόμενα ἠδύνατο καὶ ἀκούειν καὶ καθορᾶν.

VI. Οὕτως οὖν ἐκείνων ποιησάντων καὶ ταῦτα μάλα ἐσπουδακότι τῷ προσώπῳ, Βαρκείφας τὴν τύχην ὁρῶν προσμειδιῶσαν αὐτῷ ἁπαλώτατα, μετ' οὐ πολὺν χρόνον τὴν μεταμόρφωσιν οὐκέτι ᾔσθετο, καὶ ὅτι ἂν ποιήσαιε, κατὰ τὴν Γάφνου ἰδιότητα διέπραξε. Λόγου δὲ τυχὸν γενομένου περὶ τοῦ ἐν τῇ νυκτὶ συμποσίου, ἠρώτησεν, ὅπου εἴη ἀνὴρ ἐκεῖνος ποτικὸς, ὁ Βαρκείφας. Τότε δὲ χαλεπῶς κατείχομεν καὶ μόλις τὸν γέλωτα. Ἐπαινοῦσι δ' ἡμῖν αὐτὸν ἐπὶ τῷ εἰς τὴν γυναῖκα κομψεύσασθαι, ἀπεκρίνατο, ἐκείνην μὲν γίνεσθαι δυσειδεστάτην· ἀλλ' εἶναι αὐτῷ δούλην, ἣν παραγαμεῖν βούλοιτο καλλίστην. Ἡμῖν μὲν τοῦτο

et ipse vomitum edidit, ore distorto. Tum vero nemo risum tenere poterat; Barciphas autem statim sopore vinctus est; quod cum eorum vidisset quidam, qui aderant, inebriatum hunc, ait, ac torpore affectum gravissimo ludibrium faciamus; veste enim Gaphni indutum in ejus etiam lectulo hominem collocemus. Ad solutum deinde crapula adeamus, Gaphnique eum nomine appellemus, atque omnimodo eo utamur, ac si esset Gaphnus. Hoc modo Barciphæ, uti se cauponem esse credat, facile persuadebimus. Etiam ineptissimum enim propter stultitiam non perspiciet. Hæc omnibus sunt visa, et Gaphnus verus interea in receptaculum quoddam sese contulit, unde omnia, quæ in ædibus sunt facta et audire et videre poterat.

VI. Quod cum ita fecissent, atque vultu id gravissimo, Barciphas paullo post commutationem non amplius intellexit et quidquid faceret, secundum Gaphni fecit consuetudinem. Cum forte etiam de epulis nocturnis loquerentur, ex reliquis quæsivit, ubi Barciphas esset, oppressus ille ebrietate. Tum vero ægre risum tenebamus. Cum vero laudaremus eum, quod uxorem ita castigavisset, dixit illam esse minime pulchram, sed pulcherrimam sibi esse servam, quam insuper in matrimonium ducturus sit; id quod omnibus valde ridiculum erat. Gaphnus vero, qui omnia audiverat in

ἐδόκει εἶναι γελοιότατον. Ὁ δὲ Γάφνος πάντα ταῦτα ἐν τῷ μυχῷ ἀκούων, ὅπως μὴ τοῦτο ποιῇ ὁ Βαρκείφας, κωλύσων, δανειστῇ τινὶ πέμψας ἔλαθε λέγοντα, τὸν μὲν Γάφνον πολὺ τὸ χρέον ὀφείλοντα ἐκείνῳ, τῶν συμβολαίων αὐτὸν ἀποστερήσειν, συμποσίοις διαφθείροντα τὰ χρήματα καὶ γυναιξί· ταύτην μὲν γὰρ, ἔφη, τὴν νύκτα ξενίοις μεγίστοις ἀγυρτικὸν ἐξένισε πλῆθος· τὸ δὲ ἀργύριον περιγενόμενον τοῖς σήμερον γαμικοῖς καταναλώσει. Ὁ μὲν οὖν δανειστὴς τάχα παρὼν ἐν τῷ καπηλείῳ, ὀφείλοντα δὲ ἐκ τῆς ὄψεως οὐ γινώσκων τὸν Γάφνον, τίς ἐστιν, ἠρώτησεν, ὑμῶν ὁ Γάφνος. Ὁ δὲ Βαρκείφας εἶπεν, ὅτι ἔγωγε. Τότε μὲν ὁ ἄνθρωπος τὸν λεγόμενον Γάφνον καταλαβὼν εἰς τὰς πύλας ἤγαγεν. Οἱ δὲ δικασταὶ τὸν τὸ χρέος οὐκ ἔχοντα τῷ δανειστῇ ἐπέκριναν δοῦλον, ἕως ὅτε ἀπολύσει. Εἰπόντος δὲ τότε, μὴ νομίζειν, ὅτι Γάφνος ἐστὶν, ἀλλὰ Βαρκείφας, λόγον οὐκ ἐποιήσαντο καταγελάσαντες. Ἡμεῖς δὲ πάντες τοὺς δικαστὰς εἰς τὴν δικαιοσύνην ἐπαινοῦντες ἐν τῷ τῶν ἀκουόντων παρεγενόμεθα ὄχλῳ.

VII. Περιπατοῦντες δέ ποτε γόητάς τε καὶ περιάγοντας ὄφεις ἀνεύρομεν· ἦσαν δὲ καὶ μετ' αὐτῶν τὸν Θάνατον ᾄδοντες Ἰαμύλκου, ὃν ἐνίκησε γίγαντα ὁ Σανόβαλος, ὧν καὶ ἀπέδειξαν ἀμφοῖν τὰ κεράμεια ἀγάλματα· τῷ μὲν γὰρ Ἰαμύλκῳ καταβεβλημένῳ τε καὶ τραυματισθέντι καὶ πρὸς τὸ τελευτᾶν ἤδη γενομένῳ παρέστη ὁ Σανόβαλος τὸ ξίφος ἔχων ἐν τῇ δεξιᾷ καὶ τῇ νίκῃ χαίρων. Ἐπελθούσης μὲν οὖν τῆς νυκτὸς,

latibulo, ne Barciphas, quam sibi proposuisset rem perficeret, clam omnibus ad argentarium misit hominem, qui illum faceret certiorem, Gaphnum, qui ab argentario magnum contraxisset æs alienum, soluturum non esse, ut qui in epulas et mulieres maximas profunderet pecunias. Nocte enim præterita eum multitudinem mendicorum apud se liberalissime hospitio excepisse; pecuniamque, quæ supersit, postridie nuptiis eum esse consumturum. Argentarius igitur in tabernam properans, cum personam Gaphni, qui in ære suo erat, nunquam vidisset, ex præsentibus quæsivit, quis ex iis sit Gaphnus? Barciphas sese esse dixit. Tum vero ille Gaphnum creditum secum in portas abduxit, ubi judices hunc, donec solveret, illi tradiderunt servum. Jam vero, cum postea diceret, ipsum suspicari, se non esse Gaphnum, sed Barcipham, hujus sermonis non habuerunt rationem judices sed deriserunt hominem. Nos autem omnes in auditorum numero adstantes, laudavimus judices propter eximiam justitiam.

VII. Alio tempore in omnibus urbis locis pervagati magis occurrimus atque hominibus ex illis, qui serpentes incantare noverunt. Carminibus etiam celebrabant mortem Jamylci, de quo gigante Sanobalus victoriam reportavit. Utriusque etiam fictiles ostendebant effigies. Jamylci figura erat delineata in modum viri prostrati ac vulnerati animamque jam agentis. Sanobalus autem adstabat,

τῶν δὲ θεατῶν ἀπιόντων, ἄνθρωποι οἱ κεκτημένοι τὰ ξόανα ἀπελθεῖν ἐβούλοντο καὶ αὐτοί· δῶρον δὲ λαβόντες, τὰ ξόανα ἡμῖν συνεχώρησαν καὶ τὴν σάλπιγγα· πῦρ δ' ἐν λίθῳ ἀνακαύσαντες, ὥστε θεατὰ εἴη τὰ κεραμωτὰ, τὸ κατὰ τοῦ Σανοβάλου ἐγκώμιον φωνῇ διηρχόμεθα μεγάλῃ· τάχα δὲ τῶν τε ἀκροωμένων καὶ τῶν θεατῶν συνέδραμον ὄχλος πολύς. Καὶ πρῶτον μὲν τὸ ᾄδειν καλῶς προὐχώρησεν· ἀλλὰ μετ' ὀλίγον χρόνον Ἱεράκων ἐφθέγξατο, ὅτι ἐγγίζοι θεασόμενος καὶ ὁ γέρων· ἀπολώλαμεν, ἔφη, ἡμᾶς γὰρ ἀναγνώσεται. Τότε μὲν δὴ ἐσχάτως διεκείμεθα, οὔτε τὸν Δάηφον οἷοί τε ὑποκρύπτεσθαι, οὔτε ἀποφυγεῖν δυνάμενοι, μὴ παρελθεῖν κωλύσαντος τοῦ ὄχλου συνεχοῦς ὄντος. Ταύτης οὖν τῆς ἀπορίας γενομένης, ὁ Χαρασὼν τὸν Σανύβαλον εἰς τὸ πρόσω κατέβαλεν, ὥστε δεινῷ διερράγη ψόφῳ εἰς τὸ πῦρ· ἡ δὲ φλὸξ ὀλίγῳ πρότερον τὸν τόπον περιλάμψασα κατεσβέσθη. Παραυτίκα οὖν σκότου γενομένου πολλοῦ, ἡμεῖς μὲν ἀπεφύγομεν ἄγνωστοι· οἱ δὲ παραγενόμενοι, τί δὴ εἴη τοῦτο, οὐκ ᾔδεσαν.

VIII. Ταῦτα οὖν πάντα γέγραπται ἐν ᾧ πεποίηκε περὶ Σιδῶνα ὁ Βαρμιρχάβας βιβλίῳ. Δι' οὗν ταῦτα πάντα ὁ Σωδὺκ τοὺς τραφέντας εἰς Τύρον πόλιν μετέταξε· τείχεσι δ' ὀκτὼ ὀργυιὰς τὸ ὕψος ἔχουσι περιτειχίσας τὸ παιδευτήριον ἀρτίδομον, μὴ ποιεῖν πανουργήματα τοὺς ἔνδον ἐκώλυε. Τοῦτο δὲ τὸ παιδευτήριον ὑπὸ τῷ τοῦ Κρόνου ἱερῷ κεῖται ἐν Τύρῳ.

gladium dextra tenens, victoriaque gavisus. Sub noctem vero spectatores domum se contulerunt; igitur et ii, qui Sanobali res gestas interpretati erant, abire statuerunt; a nobis vero munere affecti, libenter et statuas illas et buccinam nobis tradiderunt. Propter tenebras in lapide quodam accendimus faces, quibus admotis figuræ illæ fictiles lustrarentur, magnaque voce Sanobali celebravimus laudes. Celeritur tum magna et auditorum et spectatorum convenit multitudo, primumque res bene processit; sed paullo post Hieracon etiam senem appropinquare spectandi caussa, nunciavit clamavitque, periimus omnes, si nos agnoverit. In maximis igitur angustiis eramus, cum neque celare nos a Daëpho possemus, neque per multitudinem aretam perrumpere atque elabi. In his angustiis Charason Sanobalum prostravit, ut magno cum strepitu corrueret in ignem, ac flamma, quæ hucusque locum illustraverat, exstingueretur. Tetris deinde statim obortis tenebris, latentes effugimus; qui autem circumstabant, valde rem hanc sunt admirati.

VIII. Omnia hæc sunt descripta in eo libro, quem Barmirchabas de rebus gestis Sidoniorum conscripsit. Hanc igitur ob caussam Sydycus discipulos Tyrum jussit proficisci; quam autem ibi condiderat scholam, muro circumdedit octo orgyiarum, ut illos, ne flagitia committerent, prohiberet. Hæc schola post Croni templum est sita Tyri.

IX. Τούτῳ τῷ χρόνῳ Ἀσδρουῖλος ἐκ Βύβλου πόλεως ἀποφυγὼν, διὰ τὸ ἔργα ἀνύσια ἐργάσασθαι πολλὰ, πύργον μὲν ἐν τῇ ἀκτῇ ᾠκοδόμησεν, οὓς δὲ κατέλαβε Βυβλίους φονεύσας ἐσκύλευε πάντας. Τοῦτο μὲν οἱ ἐν τῇ πόλει βαρέως φέροντες, οὐχ οἷοί τ' ἦσαν κωλύειν πολὺν χρόνον. Ἦν δ' ἐν τῷ ὄρει πρεσβύτης, τραύματα ἐπιστάμενος ὑγιοποιῆσαι καὶ τὰ δυσθεράπευτα, πρὸς ὃν μακρὰν εἰςῆλθον οἱ κακῶς ἔχοντες εἰς ἴασιν· τοῦτον μὲν οὖν καταλαβὼν καὶ τὸν πύργον εἰσαγαγὼν, τὸν μὲν τῶν τὴν νόσον ἀποφυγόντων παρέλαβε μισθὸν ὁ Ἀσδρουῖλος, τῷ δὲ γέροντι χαλεπῶς προσφερόμενος διεγένετο. Ἀδονιλίβνας δ' ὁ παῖς τοῦ ἐν φυλακῇ ὄντος πολλὰ ἤθροιζε μειράκια, οἷς ἐπένειμε μαχαίρας βραχείας. Καθ' ἕκαστον δ' εἰςῆλθον τοῦ λῃστοῦ τὸ περιτείχισμα ὡς πρὸς τὸν ἰατρὸν, τοὺς φύλακας τὰ ὅπλα κρύψαντες· ἔνδον δὲ γενόμενοι τοὺς ἀμφὶ τὸν Ἀσδρουῖλον ἀνελόντες, τὸν μὲν πρεσβύτην ἀπέλυσαν, χρήματα δὲ ἔλαβον πολλὰ καὶ πολλοῦ ἄξια καὶ ὅπλα καὶ ἱμάτια. Ἐπανελθόντος δὲ τοῦ Ἀδρονιλίβνα εἰς τὴν πόλιν, Σιμαρὼν μὲν ὁ βασιλεὺς ἔτυχε τετελευτηκὼς· ἡ δὲ γερουσία τὸν Ἀδονιλίβναν ἀπεδείξατο ἄρχοντα καὶ ἐξ ἐκείνου πάντες οἱ τῶν Βυβλίων βασιλεῖς ἀμειβόμενοι ὀνομάζονται τῷ αὐτῷ ὀνόματι.

X. Οὗτος οὖν ὁ Ἀδονιλίβνας πάντων τῶν μέχρι τοῦδε ἐν Βύβλῳ πόλει βασιλευσάντων προπάτωρ ἐγένετο.

IX. Hoc tempore ex urbe Bybliorum Asdruilus quidam expulsus est, propterea quod multa commisisset crimina. Hic arcem condidit in litore et omnes Byblios, quos intercepit, crudelissimis suppliciis affectos spoliavit. Qua re irritati nullo tamen modo latrociniis eum prohibere poterant oppidani per longum temporis spatium. Degebat autem in montibus gravis ætate vir, cui tanta artis medendi erat peritia, ut et vulnera gravissima ad sanitatem perduceret, quam ob rem undique ad eum proficiscebantur morborum curandorum caussa. Hunc in vincula conjectum Asdruilus in suam abduxit secum arcem, præmiaque sibi sumsit, quæ accepit homo ab illis, qui arte sua convaluerant. Nihilominus senem male habere haud destitit. Quod cum audivisset Adonilibnas, viri illius filius, multos evocavit juvenes, quibus pugiones distribuit breviores; qui cum, occultatis præsidio armis, singuli intrassent arcem, tanquam sanationis caussa, Asdruilo omnique munitionis præsidio enecatis, senem liberarunt et magna atque clara potiti sunt præda, sicut et multis armis et vestibus. Juveni huic Adonilibnæ erat nomen; quem, cum urbem intraret, mortuo forte rege Simaronte, senatus regem creavit, atque inde ab eo tempore Bybliorum omnes reges per vices eodem nomine appellantur.

X. Ex hoc Adonilibna originem duxerunt omnes, penes quos usque ad nostra tempora Bybliorum erat

Αὐτοῦ δὲ οὕτως ἔχει τὸ γενεαλόγημα. Ῥώφου ἦν υἱὸς ὁ Ἀδονιλίβνας. Ῥόφου δὲ πατὴρ ἐγένετο Δάτων ὁ Ἰασουδαῖος. Τὰ μὲν οὖν ὑπ Ἀδονιλίβνα πεπραγμένα καὶ τὰ ὑπὸ τῶν μετ' αὐτὸν βασιλευσάντων ἐν τῷ τοῦ Καυκάβου γέγραπται βιβλίῳ. Τὸν δὲ πρὸς τοὺς γίγαντας πόλεμον Χαρώδας ἔγραψεν ὁ στρατιώτης, πρὸς δὲ τοὺς Δαμασκηνοὺς Χύλκας ὁ τοῦ βασιλέως γραφεύς· τὴν δ' ἀτυχίαν τῶν τὴν ἐν Κιλικίᾳ Ταρτησσὸν κτισάντων ἡγεμον [ήσαν] τος Ὀκαλοθῶνος, Βαρδάτης ὁ κάπηλος· τὴν δὲ τῶν Τυρίων πολιορκίαν Κιδμὼν ὁ Νεβιταῖος. Ὁ δ' Ὀκαλοθὼν γραμματεὺς βασιλικὸς ἐγένετο.

Ἐτελέσθη τὰ Σαγχουνιάθωνος τοῦ παρὰ τῷ βασιλεῖ γραμματεύοντος.

imperium. Cujus ita se habet stemma. Rhopho patre Adonilibnas ortus est; Rhophi pater erat Daton Jasudæus. Adonilibnæ vero eorumque, qui post eum regnabant res gestæ in libro Caucabi sunt descriptæ. Bellum contra Gigantes Charodas miles descripsit, contra Damascenos Chylcas, regis scriba; cladem vero, quam accepere, qui Ocalothone duce Tartessum in Cilicia condiderant, Bardates caupo; Tyriorum oppugnationem Cidmon Nebitæus. Attamen Ocalothon scriba erat apud regem.

Exposuit in his commentariis de rebus gestis Phœnicum Sanchuniatho, scriba regis.

Digitized by Google

Errata.

2. 4. πόλεις. 5. ὕβρεως. 6. ποιητὴς. 12. παλαιὰς. Σαγχουνιάθωνα. 16. πολὺ φροντιστικῶς. 19. ἐπινοήσας. 20. κρηπῖδα. 21. ὃν. **4.** 19. ἢ. 27. οὐδὲ. **6.** 3. νικῆσαι. 5. διαφθείραντες. ψευσάμενοι. 8. Σαγχουνιάθωνος μεθερμηνεῦσαι. 14. χρείαν. 21. στοιχείοις. 23. φυσικοὺς. 27. Σαγχουνιάθωνος. **8.** 7. οὖν. 12. Ἦν. **10.** 6. ἓν. 9. ἔκ. 13. μετέωροί. 17. γῆν. 25. δεινοὺς. **14.** 5. Οὔσωον. **16.** 2. γενέσθαι νεανίας. 9. ζυγοφορούμενον. 13. Τιτᾶνες. 16. τοῦτ' ἔστιν. 21. Σαμόθρᾳκες. 26. οἳ. **18.** 15. μετὰ. 24. παρθένος. **20.** 1. ὑπὲρ. 11. γνώμης. 13. σχεδίας. 14. ἐκριφέντες - ναὸν. 19. γενόμενος. 23. παρθένον. **22.** 5. Ῥέας. 8. καὶ Ἔρως. 9. γεννᾷ. 13. Βῆλος. 14. Τυφὼν. 21. ἑαυτοῦ. 22. τοῦτ' ἔστιν. 26. ἀπηρτίσθη. 28. ὕδατα. **24.** 4. ναὸν - Οὐρανῷ. 16. Λοιμοῦ. 17. Οὐρανῷ. 22. ὀνομάζουσι). 26. οἳ. **26.** 23. αὔξειν. 24. παρέδωκαν. 26. εὑρέτης. μετονομασθέντος. **28.** 5. οἵ τε. 9. παρακαταθήκην. 11. δυσεξίτητον. 18. τὴν δὲ. 19. ἔδωκεν ἀδελφῷ. **32.** 5. εἰσφέρετε. 16. γυναιξὶ. 18. τοὺς φεύγοντας. **36.** 9. τοῦτον τὸν. 12. ἔγημαν. 16. οὐρανόν. διεφθαρμένα. 20. περιίδωμεν. 28. Ἰσρώα. Μελικάρθου. **37.** 3. Adonius. **38.** 3. κακοφυής. 9. ἱέραξ. 18. ἀποθανοῦσαν. 12. ἥκιστα. 19. ἡμερῶν, πλοῖα. 27. ἀφιέναι. **40.** 2. τούτῳ γὰρ τῷ. 4. εἰσπλέων. 8. προσωμίλησεν. 9. φιλῶν, μακρότατός σοί φ. 10. τὸ μὲν πρ. 13. Μελίκαρθός εἰμι. 16. Ἐνταῦθα. 19. αἰσθανόμενος. 21. σὺ. θαῤῥαλέος. 28. μάχαιραν. **48.** 10. 18. Ταρτησσῷ. **92.** 27. Ὀκαλοθῶνος. **95.** 27. oppugnarunt. **108.** 14. Βελῖρος. **112.** 12. τρισκαίδεκα βασ. 14. ἑξήκοντα ἔτη. **113.** 11. tertio decimo anno. 14. sexaginta annos. **118.** 19. 21. Ὀκαλ. **120.** 7. Ὀκαλοθὼν. **121.** 21. viginti octo. **128.** 14. Κιτιέων. **180.** 17. ἀποικία Γάδειρα.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google